(1) Storia della guerra dei veneti 1478—82. (Χειρόγραφος ἐν τῷ Βρεττανικῷ Μουσείῳ Ἀρ. 8586. σελ. 150—221.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κλαδὰς παρέδωκε τοὺς καταληφθέντας τόπους εἰς Ἰωάννην τὸν Καστριώτην, καὶ ἐπέβαλε φόρον εἰς τὸν Σουλεϊμάν-βεην τῆς Αὐλῶνος ἑκ χιλίων πεντακοσίων δουκάτων, τὰ ὁποῖα γενναιοφρόνως διένειμεν εἰς τοὺς στρατιώτας του.

Μετὰ τὰ ἐν Ἠπείρῳ κατορθώματα ὁ Κλαδὰς φλεγόμενος ὑπὸ τοῦ πρὸς ἀπελευθέρωσιν τῆς πατρίδος ἱεροῦ πόθου ἐπανῆλθε μετὰ τοῦ ἀδελφοῦ του Μάρκου Ἐπιφανίου εἰς Μάνην, καὶ τεθεὶς ἐπὶ κεφαλῆς τῶν τε ἐντοπίων καὶ ἄλλων, εἰς 11,000 ἀναβαινόντων, ἀπεδίωξε πανταχόθεν τοὺς Τούρκους, καὶ μεταξὺ τῶν ἄλλων ἐγένετο κύριος τοῦ ἰσχυροῦ πύργου τῆς Βουρδούνιας· ἵνα δὲ συνδιαλλαγῇ μετὰ τῆς ἐνετικῆς δημοκρατίας, τῆς ὁποίας ἡ ἔχθρα ἦτο ἐπιφοβωτέρα τῶν σουλτανικῶν ὅπλων, προσήνεγκεν αὐτῇ τὴν Βουρδούνιαν μετὰ τῶν ἄλλων ἐν Μάνῃ κτήσεων. Ἡ Ἐνετία ἀσμένως προσδεχθεῖσα τὸ δῶρον ἀνέθετο εἰς τὸν ἐν Πελοποννήσῳ προβλεπτὴν Ἰάκωβον Βαρβαρίγον τὴν παραλαβὴν τῶν χαριζομένων τόπων, καὶ ὑπὸ τὰς σημαίας αὐτῆς προσεδέξατο τοὺς Κλαδαίους. Ἐνῷ δὲ ὁ Κροκόδειλος μεταβὰς εἰς Δαλματίαν ἐπολέμει τοὺς Τούρκους, ὁ ἀδελφὸς αὐτοῦ Μάρκος Ἐπιφάνιος καταταχθεὶς, εἰς τὰ ἐν Πελοποννήσῳ ἐνετικὰ τάγματα, ἐστάλη κατὰ τῶν Πατρῶν· ἐνταῦθα δὲ, μετὰ πολλὰ περιφανῆ δείγματα γενναιοψυχίας (molte egregie facioni), συλληφθεὶς ὑπὸ τῶν Τούρκων ἐξεδάρη ζῶν (1).

Ἐν Δαλματίᾳ πολεμῶν ὁ Κορκόδειλος ἔμαθεν, ὅτι οἱ Τοῦρκοι ἀφῄρεσαν παρὰ τῶν Ἐνετῶν τὴν Βουρδούνιαν καὶ τ' ἄλλα φρούρια τῆς Μάνης· ἄνευ χρονοτριβῆς παραλαβὼν ἑκατὸν τεσσαράκοντα Ἠπειρώτας ἱππεῖς, ἐξ ἰδίων μισθουμένους, καὶ παρακολουθούμενος ὑπὸ τῶν δύο υἱῶν του, Θεοδώρου καὶ Μανόλη, ἀπεβιβάσθη εἰς Μάνην, καὶ ἀνακτήσας τὴν Βουρδούνιαν γενναιοφρόνως προσήνεγκεν αὖθις εἰς τοὺς Ἐνετούς.

Μετὰ τὸ νέον τοῦτο πολεμικὸν ἐγχείρημα ὁ Κορκόδειλος με-

(1) Ἀναφορὰ πρὸς τὴν ἐνετικὴν Γερουσίαν Δημητρίου Κλαδᾶ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέθη εἰς Ἀλβανίαν, ἀπειλουμένην τότε ὑπὸ τῶν Τούρκων· εὐδοκίμως δ' εἰς πολλοὺς διαπρέψας πολέμους, συνελήφθη ἐπὶ τέλους εἴς τινα ἐν Χειμάρᾳ συμπλοκὴν, καὶ ἐκρεουργήθη ὑπὸ τῶν κατ' αὐτοῦ ἐξωργισμένων Ὀθωμανῶν (tag'iato a pezzi) (1).

Β'.

Διὰ μακρῶν ἐν τοῖς προηγουμένοις ἐξηρευνήσαμεν περὶ τῶν προγόνων τοῦ διὰ τοῦ νῦν δημοσιευομένου ποιήματος ὑμνουμένου Μερκουρίου Μπούα· καιρὸς δὲ πλέον ἵνα λαλήσωμεν καὶ περὶ αὐτοῦ τούτου.

§. 1.

Καὶ πρὶν καὶ μετὰ τὴν ἅλωσιν τοῦ Βυζαντίου πολλοὶ Ἕλληνες, φύσεως; λαχόντες φιλοπολέμου, καὶ μὴ εὑρίσκοντες ἐν τῇ ἰδίᾳ πατρίδι στάδιον εἰς ἐκπλήρωσιν τῶν ὀνείρων τῆς φιλοδοξίας των, εἰς μεμακρυσμένας ἀπήρχοντο χώρας καὶ ὑπὸ τὴν σημαίαν τοῦ φιλοξενοῦντος ἔθνους ταττόμενοι, διὰ σειρᾶς ἀπαραμίλλων ὡς ἐπὶ τὸ πολὺ, ἀνδραγαθημάτων ἐδόξαζον μὲν ἑαυτοὺς, οὐκ ὀλίγον δὲ ἅμα ἐτίμων καὶ τὸ Ἑλληνικὸν ὄνομα. Καὶ περὶ μὲν τούτων ὅλων ἰδίᾳ ποιούμεθα λόγον ἐν ἀνεκδότῳ ἡμῶν πονήματι (2), ἐνταῦθα δὲ μόνον περὶ τοῦ ἐν λόγῳ Μερκουρίου

---

(1) Ἐπὶ τῇ βάσει τῶν πολυαρίθμων ἐπισήμων ἐγγράφων τῆς ἐν Κεφαλληνίᾳ περισωζομένης οἰκογενείας τῶν Κλαδαίων, συνέταξα λεπτομερῆ αὐτῆς βιογραφίαν μέχρι τῶν καθ' ἡμᾶς χρόνων, ἐν οἰκείῳ τόπῳ ἄλλοτε ὁλοσχερῶς δημοσιευθησομένην. Τὰ δὲ περὶ Κορκοδείλου παρεκβατικῶς ἄνω ἐκτεθέντα εἶνε ἀπόσπασμα ταύτης.

(2) « Οἱ Ἡρωϊκοὶ χρόνοι τῆς Νεωτέρας Ἑλλάδος (1453—1821). » Μέρος Α'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέλομεν λαλήσει, ἀφοῦ καὶ τ' ἀνδραγαθήματα αὐτοῦ ἐξυμνεῖ τὸ δημοσιευόμενον ποίημα, κατὰ δὲ τὴν ὁμολογίαν ἀλλοεθνῶν ἱστορικῶν ἀνεδείχθη οὗτος εἷς τῶν ἐπισημοτέρων στρατηγῶν τοῦ ΙΕ' αἰῶνος.

§. 2.

Περὶ τὰ τέλη τοῦ ΙΕ' αἰῶνος, ὅτε ἡ Ἰταλία ἦτο τὸ θέατρον πολυνέκρων μαχῶν καὶ ἐμφυλίων σπαραγμῶν, ξένοι δὲ κατακτηταὶ ἐναλλὰξ εἰσέβαλον εἰς τὴν ὡραίαν ταύτην χώραν, Τζάνες Κορωναῖος, Ζακύνθιος τὴν πατρίδα, διέτριβεν ἐν Βενετίᾳ. Εἰς τὰ πολεμικὰ χρονικὰ τῆς ἐποχῆς ἐκείνης ἐπίσημον θέσιν κατελάμβανον καὶ Ἕλληνες μισθοφόροι (stradioti), πολλῶν δ' ἐξ αὐτῶν, ὡς Παλαιολόγου, Λασκάρεως, Μπόχαλη, Κλαδᾶ, καὶ πρὸ πάντων Μερκουρίου Μπούα, πανταχοῦ ἐξυμνεῖτο τὸ φιλοπόλεμον καὶ ῥιψοκίνδυνον, καὶ ὁ στρατηγικὸς νοῦς. Ἕλλην ὁ Κορωναῖος δὲν ἠδύνατο νὰ μὴ φανῇ ἐνδιαφερόμενος εἰς τὴν τιμὴν τοῦ ἔθνους, καὶ μὴ καυχᾶται διὰ συμπατριώτας, οἵτινες περιλάλητοι καθ' ὅλην τὴν Εὐρώπην τότε ἐγένοντο· ὑπὸ τὸ πρίσμα ἀγνοῦ πατριωτισμοῦ συνέλαβεν ὁ Ζακύνθιος οὗτος τὴν ἀξιέπαινον ἰδέαν ἵνα ψάλλῃ τὰ κατορθώματα τοῦ ἐπισημοτέρου τῶν Ἑλλήνων ὁπλαρχηγῶν, καὶ τοῖς ἐπιγιγνομένοις ἡμῖν παραδώσῃ πολύτιμον μνημεῖον τῆς κατὰ τοὺς ζοφεροὺς ἐκείνους χρόνους ἀναλαμπῆς τοῦ ὑπὸ τὴν ἀπαισιωτέραν τῶν τυραννιῶν στενάζοντος γένους.

Καὶ τώρα γράφω μιὰν γραφὴν νὰ τὴν ἀκούσουν πάντες,
Ἡ δύσι, κ' ἡ ἀνατολή, καὶ ὅλος ὁ λεβάντες.

Εἰς τὸ δίστιχον τοῦτο διαλάμπει ἡ φιλοπατρία τοῦ ποιητοῦ, ὡσεὶ θέλοντος νὰ καταδείξῃ εἰς μὲν τὴν Δύσιν, ὅτι ἀδίκως κατεσυκοφάντησε τὸ ἐξ αἰτίας της δουλεῦον ἔθνος τῶν Ἑλλήνων, τοὺς δὲ δουλεύοντας νὰ ἐπελπίσῃ, ὅτι τὸ γένος δὲν ἀπέβαλλε τὸν πολεμικὸν αὐτοῦ χαρακτῆρα,

Ἵνα καταρτίσῃ τελειότερον τὸ ἔργον του ὁ ποιητὴς οὐ μόνον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρὰ τοῦ ὑμνουμένου Ἠπειρώτου ἔλαβεν εἰδήσεις λεπτομερεῖς περὶ τῶν διαφόρων μαχῶν, ἐν αἷς ἐκεῖνος διέπρεψε, καὶ τὰ οἰκογενειακά του ἔγγραφα ἐξήτασεν, ἀλλὰ καὶ εἰς Ἑλλάδα καταβὰς ἐξηρεύνησεν ἐπιτοπίως τὰ περὶ αὐτοῦ, ἵνα καταδείξῃ ὅτι *Ἕλλην* καὶ οὐχὶ *ξένος*, ὡς τινες διϊσχυρίζοντο, ἦτο ὁ Μπούας.

Καὶ στάθηκα κ' ἐξέταξα μετὰ πολλοῦ τοῦ κόπου,
Τοὺς ἄρχοντας τοῦ Ἀναπλιοῦ, καὶ ὁλονοῦ τοῦ τόπου,
Κ' ἔμαθα τὴν ἀνατροφήν, καὶ ὅλαις του ταῖς τάξαις,
Τὴν ἀρχοντιάν, κ' εὐγένειαν, καὶ ὅλαις του ταῖς πράξαις.
Καὶ νὰ σὲ φέρω μαρτυριαὶς τοῦ βασιλέως ταῖς βούλαις,
Ὁποίαις ἔπιασα κ' εἶδά ταις, κ' ἀνέγνωσά ταις οὔλαις,
Καὶ τὴν πατρίδα μαρτυροῦν καὶ ὅλον του τὸ γένος,
Κ' ἄλλοι, ποῦ δὲν τὸν ξέρουσι, λέγουσ' ὅτ' εἶναι ξένος.

Οὕτω δὲ γράψας ὁ Κορωναῖος τὸ ποίημά του, κατὰ Ὀκτώβριον τοῦ **1849**, διῃρημένον εἰς 10' τμήματα, ἀπέστειλε μετὰ τοῦ ἐν τέλει προσαρτωμένου πιτακίου εἰς τὸν Μπούαν, προτάξας καὶ ὡραίαν ἐξεικόνισιν τῶν οἰκοσήμων αὐτοῦ

Ἐκτὸς τῆς μεγάλης ἱστορικῆς ἀξίας, μεγαλειτέραν ἔχει τὴν φιλολογικὴν ἡ ἐποποιΐα τοῦ Κορωναίου. Εἶνε τὸ πρῶτον ἀπ' ἀρχῆς μέχρι τέλους γεγραμμένον εἰς καθαροὺς ὁμοιοκαταλήκτους στίχους νεοελληνικὸν ποίημα, φέρον καθαρὸν τὸν τύπον τῆς πρωτοτυπίας, καὶ ἐπομένως τοῦ ἑλληνικοῦ Παρνασσοῦ γνήσιον τέκνον καθιστάμενον.

§ 3.

Ὁ καθηγητὴς Gidel εἰς τὸ ὑπὸ τῆς Γαλλικῆς Ἀκαδημίας κατὰ τὸ παρελθὸν ἔτος βραβευθὲν πόνημά του (1), προσπαθεῖ νὰ κατα-

(1) Etudes sur la litterature grecque Moderne. Paris 1866.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δείξῃ, ὅτι ἀπὸ τῆς ὑπὸ τῶν Φράγκων ἁλώσεως τοῦ Βυζαντίου τὰ μέγιστα ἐπηρέασε τὴν νεοελληνικὴν ποίησιν ἡ ἱπποτικὴ στιχουργία· οὕτω δὴ ὁ *Πρέσβυς Ἱππότης*, ὁ *Βέλθανδρος*, οἱ *Ἔρωτες τοῦ Λυβίστρου*, ὁ *πόλεμος τῆς Τροίας*, ἡ *Διήγησις τοῦ Φλωρίου*, ὁ *Βελισάριος*, ἡ *Ἱστορία τοῦ Ἡμπερίου*, εἰσὶν ἁπλαῖ μεταφράσεις γαλλικῶν στιχουργημάτων (Romans Chevaleresques). / Πολιτικῶν μυθολογιῶν 13

Ὅτι ἡ ἀτυχὴς Βυζαντινὴ αὐτοκρατορία, μετὰ τὴν ἀποφράδα ἐκείνην τῶν Σταυροφόρων ἐπιδρομὴν, παρεξέκλινέ πως τῆς ἐθνικῆς τροχιᾶς καὶ στιγμαίως ἐπηρεάσθη ὑπὸ τῶν ἠθῶν καὶ ἐθίμων τῶν κατακτητῶν, οὐδεὶς ὁ ἀντιλέγων. Καὶ πρὶν, καὶ τότε, καὶ μετέπειτα ἐπῆλθον χρόνοι δυστυχεῖς, καὶ ὁ Ἕλλην ἔζησε βίον δούλου· κλίνων γόνυ ἐνώπιον ἀλλοεθνῶν, ἐπεχρίσθη μὲ τὸ ἀρέσκον αὐτοῖς ψιμμύθιον, ἵνα καὶ ἀνετώτερον οὕτω τρώγῃ τὸν ἄρτον τῆς δουλείας, καὶ εἰς συνάφειαν εὑρίσκηται μὲ τοὺς τυράννους του, τῶν ὁποίων τοὺς θρόνους ὑπέσκαπτεν. Ὑπὸ διπλῆν, ἐκ διαμέτρου ἀντίθετον, ἔποψιν παρίσταται τότε ὁ Ἕλλην· ὑπὸ τὸν ἐκφραγκισθέντα φλοιόν του ἔπαλλεν ἰσχυρῶς ἑλληνικὴ καρδία, ἀγνὸς δὲ καὶ ἀλύμαντος ὁ ἐθνισμὸς διετηρεῖτο· κατ' ἐπίδειξιν εὐθυμία καὶ γονυκλισίαι, ἐν κρυπτῷ δὲ δάκρυα καὶ συνωμοσίαι· τὰ χείλη ὡμολόγουν φιλίαν, καὶ ἡ καρδία μῖσος. Λίθριοι μετ' οὐ πολὺ ἀνέτειλαν ὁρίζοντες, καὶ δι' ἑνὸς λακτίσματος ὁ Ἕλλην ἐκρήμνισε τῶν δεσποτῶν του τοὺς θρόνους, τῶν ὁποίων ἀπὸ καιροῦ ὑπολανθάνων εἶχε σαρακώσει τὰς βάσεις. Τί ἐπέζησε τῶν ἀλαζόνων κατακτητῶν; λείψανα πύργων! Τί δὲ τῶν δούλων; ἡ ἐθνικότης!

Ἐν τῇ αὐλῇ τῶν Φράγκων ἐκείνων ἡγεμόνων πρωτεύουσα τάξις παρασίτων ἦτο ἡ τῶν Τροβαδούρων. Τοὺς ἀκνήρους τούτους Φράγκους ἐμιμήθησαν καὶ ἀκνηροὶ Ἕλληνες· ὅταν δὲ ἡ μεγάλη τοῦ Ἑλληνισμοῦ ἀπορροφητικὴ δύναμις ἤρξατο θαυμασίως ἐπιδρῶσα ἐπὶ τῶν κατακτητῶν, οἱ Ἕλληνες τροβαδοῦροι μεταφράσαντες ἔψαλλον ἑλληνιστὶ τ' ἀρέσκοντα εἰς τοὺς γεναιοδώρους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἱππότας στιχουργήματα. Ἅμα ὅμως ἡ ἐθνικὴ λαϊλαψ ἐσάρωσεν ἀπὸ τῆς Ἑλλάδος πᾶν τὸ ξενικόν, μετὰ τῶν ἱπποτῶν ἔγιναν ἄφαντοι καὶ οἱ Ἕλληνες τροβαδοῦροι· καὶ ἐπειδὴ δύσπεπτον εἶνε εἰς τὸν ἑλληνικὸν στόμαχον πᾶν τὸ ὀθνεῖον, οὐδὲ στίχος ἱπποτικοῦ ἄσματος διεσώθη εἰς τὸ στόμα τοῦ λαοῦ.

Καὶ περὶ μὲν τῆς πρώτης τοῦ Κ. Gidel εἰκοτολογίας, ταῦτα. Παρεκβατικῶς δὲ ὁ αὐτὸς Γάλλος ἐν τῷ μνημονευθέντι πονήματι ἰσχυρίζεται, ὅτι καὶ ἡ νεοελληνικὴ ὁμοιοκατάληκτος στιχουργία εἶνε ὡσαύτως ξενικὸν ἀπομίμημα, εἰσαχθὲν κατὰ τὸν ΙΕ' αἰῶνα· εἰς ἀναίρεσιν δὲ τῶν ὑπὸ τοῦ Γερμανοῦ Grimm λεγομένων, ὅτι ἡ ἀπομίμησις αὕτη ἐγένετο κατὰ τὸν ΙΓ' αἰῶνα, ἐπικαλεῖται τὰς μαρτυρίας τῶν σοφῶν Ἑλλήνων Ἀδαμαντίου Κοραῆ, καὶ Ῥίζου Νερουλοῦ. Πόθεν ὁ Γρὶμ ὁρμώμενος ἰσχυρίσθη τοῦτο, ἀγνοοῦμεν· οἱ δὲ δύο ἄνω μνημονευθέντες ἔξοχοι λόγιοι τοῦ ἡμετέρου ἔθνους ἀπατηθέντες ἐκ τῶν ὀλίγων μετὰ τὴν ἅλωσιν ὁμοιοκαταλήκτων στιχουργημάτων τοῦ Γεωργιλᾶ, Στεφάνου Σαχλίκη, καὶ Κωνσταντίνου Τεμένου, ἀβασανίστως παρεδέχθησαν τὴν ἥκιστα εὐνοπρεπῆ δοξασίαν, ὅτι «τὸ βάρβαρον τοῦτο ὁμοιοτέλευτον » (rime) προσκολληθὲν σήμερον εἰς τοὺς στιχους ἔλαβεν ἀρχὴν » περὶ τὰ μέσα τῆς δεκάτης πέμπτης ἑκατονταετηρίδος » (1).

Ὁ ἐν Πέστῃ καθηγητὴς Κ. Ιω. Τέλφυς διὰ σοφῆς πραγματείας (2) ἀποδεικνύει «ὅτι οἱ μὲν κατὰ τόνον στίχοι εἶνε ἰδιο- » κτησία τῆς ἑλληνικῆς ἀρχαιότητος, καὶ ὄχι ξένον τοῦ μεσαιῶνος » δάνειον, ὡς οἱ ἐχθρόχρονες ἢ ἐπιπολαίως καὶ προπετῶς κρίνοντες » διϊσχυρίζονται, *στίχους δὲ ὁμοιοκαταλήκτους* εἶχον καὶ » οἱ ἀρχαῖοι Ἕλληνες.» Δι' ἀπειρίας παραδειγμάτων καταδεικνυσιν ὁ σοφὸς Οὔγγρος, ὅτι καὶ Ὅμηρος καὶ Ἡσίοδος, Θέογνις καὶ Ἡράκλειτος, Ἐμπεδοκλῆς καὶ Δημόκριτος, Αἰσχύλος, Σοφοκλῆς, καὶ Εὐριπίδης, Ἀριστοφάνης καὶ Μένανδρος, Εὔηνος καὶ

(1) Ἄτακτα, τόμ. Β'. σελ. δ'. πρόλ.

(2) Πανδώρα, φυλλ. 296—99.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀριστοτέλης, Τίμων ὁ Φλιάσιος καὶ Ἀπολλώνιος ὁ Ῥόδιος, Βαβρίας καὶ Σεκοῦνδος, ἐγίνωσκον τὸ ὁμοιοκατάληκτον, καὶ ἐν τοῖς ποιήμασιν αὐτῶν χρῆσιν ἐποίησαν. Ἀφοῦ δὲ δι' ἀναντιῤῥήτων μνημείων ὁ Κ. Τέλφυ ἀπέδειξε τὸν ἰσχυρισμόν του, τελευτᾷ τὴν διατριβήν του ἐπιλέγων, «ὅλα ταῦτα ἀναμφιβόλως ἀποδεικνύουσι » τὴν ὕπαρξιν τῶν ὁμοιοκαταληκτούντων στίχων παρὰ τοῖς παλαιοῖς Ἕλλησι, καὶ ἀντὶ τῆς φλυαρίας ὅτι οἱ ὁμοιοκαταλήκτοῦντες στίχοι τῶν νῦν Ἑλλήνων εἶναι ξένα τοῦ μεσαιῶνος » γεννήματα δικαίως διισχυριζόμεθα, ὅτι ἡ Ἑλλὰς δύναται νὰ » θεωρηθῇ ὡς ἡ μήτηρ καὶ πατρὶς τούτων τῶν κατὰ παράδοσιν » ἐκ γενεᾶς εἰς γενεὰν φυλασσομένων. Ταύτας τὰς ἀπὸ Ὁμήρου » μέχρι τοῦ Σεκούνδου ἀποδειχθείσας ὁμοιοκαταλήξεις πρέπει » νὰ δεχθῶσι καὶ ἐκεῖνοι, οἵτινες τὴν οὕτω καλουμένην ἐρασμιανὴν προσφορὰν παρεδέχθησαν. Κατὰ τὴν γνησίαν ὅμως τῶν νῦν » Ἑλλήνων ἐκφώνησιν εὑρίσκονται ἑκατοντάκις πλείονες ὁμοιο» καταληκτοῦντες στίχοι παρὰ τοῖς ἀρχαίοις (1).

Ἐκτὸς τῶν ἀρχαίων καὶ οἱ Βυζαντινοὶ γιγνώσκοντες τοὺς ὁμοιοκαταληκτοῦντας στίχους πολλαχοῦ ποιοῦνται χρῆσιν αὐτῶν· ἐκτὸς τῶν ἄλλων ἀρκοῦμαι ἀναφέρων τὸ πρῶτον δίστιχον τοῦ πασιγνώστου Ἀκαθίστου ὕμνου·

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
Ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια ...

Ἐκ τούτων δηλοῦται, ὅτι ἡ ὁμοιοκατάληκτος στιχουργία δεν εἶνε *βάρβαρος* καὶ ἐπείσακτος, ὡς ὁ Κοραῆς δογματίζει, ἀλλὰ γνήσιον προϊὸν τῆς Ἑλλάδος. Καὶ ἐχρῶντο μὲν ταύτῃ Ἕλληνες καὶ Βυζαντινοί, περὶ τὰ μέσα δὲ τῆς ΙΕ'. ἑκατον-

(1) Παγδώρα, τόμ. Π' σελ. 250.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΘΑΝΑΣΙΟΥ ΣΚΛΗΡΟΥ

ΘΡΗΝΟΣ

ΕΙΣ

ΚΡΗΤΗΝ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΘΑΝΑΣΙΟΥ ΕΚ ΠΙΚΡΙΔΩΝ ΙΑΤΡΟΥ

Θρῆνος

Εἰς τὴν ἑαυτοῦ Κρητομήτορα πάτρην,
Τῆς ἁπάσης νήσου καταστροφῆς ἕνεκεν.

Αἴ, αἴ, τάλαινα, θηλαμὼν πολυτλήμων,
Δύσχροιαν ὠπὸς πλήττομαι δέρκεσθαί σοι,
Κἀκ σοῦ πυθέσθαι γλίχομαι νεοχμίην
Στυγνοῦ γόοιο, κἄλγεος βαρυστόνου.
Τίνες στεναγμοί, ἢ ροαί τε δακρύων,
Κόμης τε τίλσις, βοστρύχων λελυμένων,
Παρηΐδων δ' ἄμυξις αἰακτῆς θέας,
Δι' αἱμάτων σταλαγμὸν ἄχρι τηβέννης,
Ἢ συσκιᾶς σκῆπτρόν τε καὶ χρυσοῦν στέφος,
Ἄρασα ἰνίοιο δειματουμένη;
Τί ταὐτ' ἀθρῶ σοι, χαρίεσσά μοι πάτρη;
Μακαρόνησος, Ἀερία ἡ πάλαι,
Θεῶν τιθήνη καὶ τοσῶνδε ἡρώων,
Ἕλλησιν ἡ προστάτις ἐν πολιτείαις,
Θρέπτειρα Κουρήτων τε τεθρυλλημένων
Ἀρηΐοις ἔργοισι πανταχοῦ γαίης,
Τίς ἥδε δυσμόρφωσις αἰδεστοῦ κάλλους,
Τό τ' ἀγριαῖνον ὄμμα ἐκπαλινάστου;
Μὴ βάκτρον ἐξέτεινε πρός σε τ' ἐξαίφνης
Λαιδρῶν ἀπηνὲς καρβάνων αἰσχρὸν γένος,
Δόξης ἀγνώτων, ἀρετῆς σοφοπνεύστου,
Καὶ τῆσδ' ἐραστὰς ἐμμανῶς φαυλιζόντων;
Σκύλαξ ὁ θηρῶν Θρηΐκων οὐκ ἠρκέσθη,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἷς Ἑλλὰς ἐξόλωλεν, ἐστερημένη
Ἀνδρῶν μάλιστα πανταχῇ πολυκλείτων,
Σοφῶν ἀκεστόρων τε καὶ ἀρητίων,
Μαθημάτων τε ἀστρικῶν δαημόνων,
Κἀρχῆθεν οἷδ' ἔκειραν ὡράϊζ' ὅσα,
Ὅσα ἤδ' ἐφεῦρε καὶ ἔνειμ' ἔθνεσσ' ἄλλοις ;
Ἀλλ' ὀξύνας οὗτός τε μακρὰν ἐγχείην,
Ἄρτὺν ἕλυε καὶ παρεσπόνδει κρύδδην,
Δόλοισι δ' εἰσέβαλλε Κρήτιον πέδον,
Λύμην ἀπειλῶν μητρὶ ὀρφανισθείσῃ.
Εὖτ' εὐδοκίμουν ἐν μεδούσαις κυδίστη,
Ἀστειότητι καὶ διαυγείᾳ ὅλβων,
Τῆμος κατατρέχει με ὕφαλος σκύλαξ,
Λεηλατεῖ δηοῖ τε ὅσσ' ἀγαστά μοι,
Ὡς πάμπαν ὠλέσειε λήμαθ' Ἑλλάδος.
Τάλαινα μᾶτερ, οὕνεκ' αἴφνης ξυμβάντων,
Οὐκ ἀλέγω δὴ αἷας ἑκτροπῆς νήσου,
Ἧς σκέπτομαι μέντοιγε ἠθῶν ἀστείων,
Εἰς καρβάνων ἔκπτωσιν, οἷά θ' Ἑλλάδος.
Ἔστω τάδ', ὡς μὴ πλεῖον ἀλδαίνοιτ' ἄλγος,
Πέφασκε δέ μοι ἄλλα ἐνδεεστέρων.
Τί τ' ἀνὰ κώμας αἰπυδμήσεις δωμάτων,
Ἑρετμὸς νεώ τε τῶν Ναζηραίων,
Μοναὶ θ' αἳ ὡράϊζον αὐτὰς λοχμάς τε ;
Μῶν καὶ τάδ' ἠρήμωτο δηΐωμένα ;
Οἴμοι, τὰ πάντα φροῦδα, πάντ' ἐπεπτώκει.
Βαθύσκιοι λειμῶνες ἀνθῶν αἰόλων,
Καλλὰς ὀπωρῶν ἐκφυουσῶν εὐόδμους,
Τεὰς ἐς ἀβρότητας, οὗτοί τε φροῦδοι ;
Φεῦ, πάντα ἔσκηπταί τε, ἤδ' ἐτεφρώθη !
Πάρεργα ταῦτα, εἶγε τῶν μεταπτώτων,
Νεοχμά μοι σύγκρινε τοῖς παλαιφάτοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πόλεις ἑκατὸν, ἦσθα δὴ σιτουμένη.
Ἡ νῦν τυχὸν δίαιτα εὐτυχεστέρα;
Ναὶ τρὶς τόσαι γὰρ, ἡμιμύριαι κῶμαι,
Κωμοπτόλεις ἄλλαι τε, τετράφαταί μοι.
Πόλεις δέ μοι τρεῖς εἰρύονται πρὸς μίᾳ.
Κλειταὶ δὲ κώχυραί τ' εὐνομούμεναι.
Εὖ οἶδ' ἀπόχρη, ταῦτα ἱστορουμένη,
Κἄγωγε παῖς σὸς, οὐ τὰ μητρὸς ἀγνώσων,
Καὶ μὴ ἔπαιρε, ἄττ' ἐκλῄσθη ἄλλοις,
Ἐπεὶ καθ' αὑτὰ, φαιδρὰ κἀρίδηλά τε·
Καιρὸς δὲ δακρύων μὲν, οὐκ ἐγκωμίων·
Ἀλλ' εἶθ' ὑπὲρ Κύδωνος, ἐννέπειν ἔχεις
Τό δ' ἱστόρει μοι, μηδὲ μηκύνεις λόγον·
Οἴμοι Κύδων δύστηνε, μητέρος κλέος,
Ἐμῶν προθύρων, ἔρκος ἀσφαλέστατον
Ἡ δείξασα οὖ γῆς, φαιδρὰ ἔργματ' ἀνδρείης.
Πῶς ὄπτομαί σε, παῖδά μοι ξενωθεῖσαν;
Αἴ αἴ λέλῃται δυστυχεστάτη Κύδων·
Νῦν ἴσχεται δὴ δουλαγωγῇ ἀστέκτῳ·
Ποῦ ὄλβος εὐρὺς ἄστεος καὶ ἀνδρείη;
Οὐχ οἷα ταῦτα, ἀντιβαίνειν ὁπποίοις.
Πάνυ γε παῖς μοι, ἴσθι ἔμπης εἰσβολὴν,
Δόλον γέμουσαν, τήν τε αἵρεσιν χείρω.
Κἂν οἵ δ' ἄστρεπτοι, οἷά τ' ἐχρῆν ἀνδρείοις,
Μάρναντο δεινά, φῦντες ἄνδρες ἀγαθοί.
Κλαίω συναίμων δουλαγωγὴν οἰκτίστην,
Κἂν αἵδ' ἀγασταὶ, ἀνδραγαθούντων δείξεις·
Τί δ' αὖ Ῥιθύμνη, ἀρτεμὴς τοίας λώβης;
Χείρω πέπονθε καί ὑπὲρ Κύδωνά μοι·
Βίῃ ἑάλω αἵμασι λυθρωθεῖσα·
Αἴ αἴ Ῥιθύμνη, ἀγχίνους μοι θυγάτηρ,
Πῶς δέρκομαί σε δεύτερον πυρουμένην,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗτοι ἄρ ἠδέσθησαν, αἴθονες λύκοι,
Τό τ' ἀγχίνουν πόλησς, ἠδ' εὔγλωττόν τε;
Ἥκιστα παῖς μοι, εὖ ἐπίσταται φύσιν,
Ἀφραδμόνων δὴ, μὴ ἀλίσκεσθαι πειθοῖ.
Ἐν τοῖσι δεινοῖς, οὔτις ἦν ἀμυντίας;
Ποῦ Ζεύς; ὅτου ἔφυσθα θηλαμὼν φίλη;
Ποῦ Ῥαδάμανθυς, κῦδος εὐνομησάντων;
Μίνως δὲ ποῦ; ὃς δάμνεν ὀφρὺν Ἀτθίδος;
Στρατάρχαι, οἱ στόλαρχοι, ἄνδρες τ' ἀγαθοὶ,
Ὧν ἦσθα μήτηρ, οἱ δέ σοι κλεινοὶ παῖδες
Τί οὐκ ἔγνωκαν νῦν ἀμῦναι μητέρι;
Αἴ αἴ τάλαινα πῶς σε κἄλλιπον παῖδες.
Ἄλις ταδ' ὦ παῖ, μὴ πίφαυσκε ἀρχαῖα·
Ἀρκεῖ παλαιῶν ὅσα τοῖς νῦν συντείνει·
Δὶς δὶς θ' ἑκατὸν πρὸς δὶς αὖ καὶ δὶς δέκα
Μιᾶς πρὸς αὐτοῖς συντελούσης πεντάδος
Ἔτη δέδεγμαι αὐτοκρατοῦντα Ζῆνα,
Μέγαν λέοντα Οὐενετῶν πολιτείης
Ζῆν' ἄλλον οὔτ' ἔγνωκα, οὔτ' ἐπιγνοίην·
Ἦμην γάρ εὖ πράττουσα εὐνομουμένη
Αὐχοῦσα δηρὸν ἐς ῥυηφένειάν μοι.
Ἕως ὅτου Ἄραψι δριωὶς ἠλώκειν,
Τοὐμὸν κελαινιῶσα μαρμαῖρον κάλλος.
Λέων δ' ἔτ' ὄζουσάν με ὁσμὴν Ἀράβων.
Ἐξ ἐκγόνων στρατηγοῦ, ἰφθίμου φύντος
Αἰνυμένον ἄλυσιν ἄχθους χειρίου
Λαβὼν ἀπείρου θέλκτρου, ἀπφὺς οἷά περ
Ἔρυψε δεικνύων με, κοσμιωτέραν,
Πασῶν τε κομπάζουσαν ἀρετῶν χάριν.
Ἔνθεν δικασπόλοισιν, οἱ θεσμωδοῦντες
Κλεινοὶ στόλαρχοι, ἀνθύπατοι φαιδροί τε,
Ἀρήϊοί τε ἄνδρες, εὔφημοι πάντῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡραιόοντες, ἢ Ὄλυμπον ἀστέρες·
Ὡς εἴγε παῖδας αὐτὸς οὓς ἐξηρίθμεις
Ἐφευρετὰς μὲν παντοδαπῆς παιδείας
Εἴδοις ἀναχάζοντας Ἅιδου κευθμόνων,
Ζηλωτὰς ἔγνω τοὺς πάλαι νεωτέρων.
Ἀλλ' εὖ τ' ἔχρηζον εὐμενεστέρας τύχης,
Κακὴ τότ' αἶσα ἀντίον τέτραπταί μοι.
Βάσκανος αἶσα καὶ παλίμβολος φύσει
Τὸ ἄστατόν τε καὶ πλάνον κεκρυφυῖα,
Ὡς μὴ δίναις ἄτρακτον οὕνεκα Κρήτης.
Τί οὐ τέκμαιρες, οἷσιν οἵδε τέκμαρσιν,
Ἵν' εἰς ἄμυναν ᾧ προμηθευσαμένη;
Ἀλλ' ὡς ἔοικε σαῖσι βουλαῖς συμφράδμων
Ὠμῷ σκύλακι, τοῖσιν ἦξας δεινοῖς με.
Ἐπείπερ ἀνθύπατον, ἔμφρονα φύντα,
Εὐγνώμονά τε πᾶσι κἀπιεικῆ τε,
Αὐτὴ μετεσκεύασας αἰνὸν ἐς κότον.
Καὶ μήνιε κράτιστα ἐξ ἁμαρτάδος
Σμικρῆς πρὸς οἰονοῦν τε καὶ περιφρόνει.
Αἴ αἴ τάλαινα τλῆπαθεστάτη πάτρη.
Δυσθυμέεις ἔκατι δυσφήμου αἴσης.
Καὶ εἰκότως μὴν, τίς δ' ἡ ἐκ τούτων λύμη;
Οἷον τὸ εὔνουν καὶ κρατούντων εὖ οἴδας
Μαλθᾶσσον ὡς εἴωθεν οἰονοῦν ἦτορ.
Αὐτὸς δὲ μειλίχοισιν οὐ θάρσυν' ὅλως.
Ἀνδράσσι θυμὸν δηριᾶσθαι ἀσμένως,
Ἀλλ' ἐκδέδωσ' ἄελπτος ἀχθεὶς ἐξ αἴσης·
Οἷα ὑπερζέων τε τὰ πρὸς ἣν πάτρην
Δι' ἧς τελευτᾷ κατθανὼν τετρωμένος·
Ἐν τοῖς δ' ἀτυχήμασι βέβλημαι χειρὼ.
Ἐπὰν γ' ἐπεπτώκει μοι ἀλκίμη Κύδων,
Δέων προμηθεῖταί μοι ἀλκίμου στόλου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τάχ' ὡς ἀνακτήσαιτο ἔκπτωτον πόλιν.
Ἡτοίμασαν δ' ἄριστα τῶν οὔπω φύντων,
Ὡς δειματοῦσθαι, αὐτὸν ἄδμητον θῆρα.
Ἀλλ' ἡ ἐπίφθονός τε καὶ κακὴ αἶσα,
Ἐπ' ἄλλο διδράσκει τι μηχανημάτων.
Ξυμφράζεται στόλαρχον ἐμβῆναι μέγαν,
Τὰ πάντα δυναστείας ἐγχειρισθέντα,
Ὃν μὲν δίκαιος τἄλλα κἀπιεικής τε,
Βουλαῖσι τ' ἔμφρων καὶ ὀνήσιμος κοινῷ,
Τὰ δήρεως μέντοι γε ἀπράγμων πάντῃ,
Κἀπιστατεῖν στόλου τε, ναύμαχος δ' ἧττον·
Ταύτῃ λαβῇ ῥωσθέντα δυσμενῶν φῦλα,
Ἐς δευτέραν ἥκουσιν εἰσβολὴν αὖθις.
Ἐμβάντες ἐς Κύδωνα, ὃς δ' οὐ κωλύει,
Δηρὸν βλακεύων Ἀμφιμάλλου ἐς κόλπον,
Ὑπερφερὴς ἐών περ ἀντίον στόλου.
Ἀλλ' ἢ δεδοικὼς πνευμάτων ἢ πρὸς βίαν,
Κεκώλυται δή, οὐκ ἔχω ἀληθεύειν.
Ἐμοὶ κρατούντων ἔργματ' οὐκ ἐξὸν κρίνειν,
Σιγᾷν δὲ κρεῖττον ὡς κέλονται οἱ νόμοι.
Ἀτὰρ θλίβον με ἕν τι οὐ σιγητέον·
Πρῶτον κατάρχον τῶν ἐμοὶ πλανημάτων,
Οὐκ ἀρετῇ γὰρ ἰδίᾳ σκαιὸν γένος,
Πέφθακεν εἰς ἕνεδραν, ἄχρι μοι στέφους,
Ὀκνηρίῃ δὲ μᾶλλον οἰακιζόντων,
Γνώμης δ' αἰσχρᾶς, ὡς δυσάλθητον πάθος,
Συγχωρεόντων πάντα, ἐχθροῖς κἀέλπτοις.
Κύδωνος οὐκοῦν ἐξυπέρκειται ὄρος,
Ὑψοῦ διῆκον Ἀμφιμάλλου πρὸς πλευράν,
Ὁδὸς δὲ τέμνει τις μόνη ὑπωρείην,
Τραχεῖα, δύσβατός τε τείνουσα πρός με.
Ἐν ᾧ δ' ἄναντες λήγει, εἰς θέσιν πέδου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χῶρός τις αἰπὺς ἵδρυται ἁρμοζόντως,
Παντοίαν εἰς ἄντωσιν ἐχθρῶν ὁρμόντων
Ἐγχωρίοις Μάλαξα ὠδὶ κλημένος,
Ὃν εἰκάσειας Θερμοπύλαις Ἀτθίδος.
Φενάρολος δ' ἔρυμα ἔσχε τοῦ χώρου,
Ἀνὴρ ἀρήϊος μὲν, ἐκ μεγαθύμων,
Ὃν παιανίζειν, εὐφραδοῦς ἔδει γλώττης
Ὁπόσσον ἠξιοῦτο κοινῇ εὐέρκτης.
Ὑπίσχεται γὰρ, ὧδέ πως τηρεῖν χῶρον,
Ὡς κωλύειν ἔλασιν ἐχθρῶν ἐνθένδεν,
Κἂν δευτέρα τε συγκεχώρηται βάσις·
Κορνήλιος δ' ἤνωγεν αἴρειν ὡς τάχος,
Ἀφέντα χῶρον, ὡς δὲ πικρῶς ἠσχάλλα,
Ἐκ τοῦδε ἀρχὰς εἰκάσας ὀλεθρίους.
Ὃ συμβέβηκε τοῖσιν ἄξαν δεινοῖς με·
Χῶρος γὰρ ἦν ἂν, εἴρυται τεταγμένως,
Φενάρολος μὲν οὐδὲν ἧττον γεννάδας
Ἐδείκνυτ' ἄν γε, ὠθέων ὡρμημένους
Ἡ Θερμοπύλαις βασιλεὺς Λακκδαίμων,
Ὠθούμενος στράτευμα Περσῶν ἁπλέτων·
Ὡς τῶν δ' ἐχόντων οἱ λεὼ ταρβήσαντες,
Ἀνὰ κράτος θόαζον, ἐς Ῥιθύμνην δε,
Οἱ δ' ἐντόνως εἶχοντο εἰς ἐνδρείην,
Ὡς ῥᾷστ' ἐπικρατεῖν τε καὶ πρῆσαι πόλιν·
Ἀλλ' οὐκ ἐχώρει τοῖς δε φρουρὰν πορθῆσαι.
Πυρεκβόλων ἄνευθεν ἐκτειχορρήκτων.
Καὶ δὴ ἄγειν πειρῶντο ἐκ Κυδωνίης·
Ἡ χώρα δ' ἀντέπραττε, κάρχαρος φῦσα,
Οὐκ εὐμαρές τε τοὔργον ἢ πρὸς θαλάσσης.
Ἀτὰρ στολάρχῳ, οὐ μέμηλε τοιῶν δε,
Καὶ οὐ δόκευε, δυσμενῶν σκευωρίας.
Τραπεὶς γὰρ ἐκ τῶν τῇδε, τὴν πρὸς Κυκλάδας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δέδωκε χῶρον, ὡς περᾶν ἀκωλύτως.
Τοιῶς δ' ἐπορθμεύοντο καὶ πυρεκβόλους,
Καὶ ἐγκρατεῖς γίγνοντο ῥᾷστα φρουρᾶς τε·
Οἱ ἐντὸς εἶπερ, ἐκπλαγέντες πρηστήρων,
Ἀνθυπάτου αὐτοῦ τε μὴ φεισαμένων,
Ἀναρσίοισι προὐδίδοντο ἀσμένως.
Θέντες κατ' ὄψιν τὸ πτόλησος ἔνδειγμα,
Ὅφλημα δ' οὗτοι, καὶ χρεὼν μαρναμένων,
Μάρνασθαι, ὡς δίκαιον, ἄχρι καὶ πότμου.
Αἳ αἳ βέβληται ἦτορ ἀΐων, μῆτερ,
Ἀ ἱστορεῖς μοι μηχανημάτων αἴσης·
Οὐκ ἀτρεμεῖ πως, ἡ κακόῤῥαφος δρῶσα;
Φεῦ ὅσα δεινῶν, συμπεφόρτηκε Κρῆτας·
Κουρῆτες ἀγλαοί τε, μητρόστοργοί τε,
Οὐκ ἠμύναντο μητρὶ οἱ ἀριστῆες;
Οὐ καββαλόντες οἵ γε τείχεα Τροίης,
Ἄραντες Ἰδμενῆα εἰς μέγα κλέος;
Οὐ στέμμ' ἀρίστου ἤρυναν Μακηδόνος,
Ἀρχῆς καθελκύσαντος ἐμβριθῆ Πέρσην;
Δι' ὧν ἀριστειῶν μὲν ἐχρῆν μειζόνων·
Φεῦ τῶν κακῶν! Κουρῆτες οἱ μεγάθυμοι,
Ἐνωθρίασαν πανταχοῦ οἱ εὐκλεεῖς.
Οὐ νωθρέες, παῖ, χείρονος δ' αἴσης ἔργοις,
Ὑπ' Ἀμάρας ἤγοντο πικρῶν ὑδάτων,
Γόρτυνος εἰς πέδον πρὸ Ληθαίου ῥόων.
Ἡγοῦντο δ' οἱ ἄριστοι, Εὐρώπης φύντες,
Εἵποντο κωμητῶν τε, πληθὺς ἁπλέτων.
Ἀλλ' ὡράϊζον στρατὸν οἱ ἐμοὶ Κουρῆτες,
Ἐκ θ' εἱμάτων σεμνῶν τε, καὶ ὅπλων φάους.
Οἱ δυσμενεῖς δ' ἔναντι, ἀντιταχθέντων,
Τεταγμένοι σκηναῖσιν, ὥρμηντ' ἐνθένδεν,
Κλαγγῇ δ' ἔδουπον, δειματούσῃ κ' ἀρίστους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' εἶδες ἂν Κουρῆτας, οἷοι ἐν μάχαις,
Ἀναρσίους τρέψαντες, ἀκμαίῳ σθένει.
Ἡγεῖτο δ' οὖν τόσοις δε Γίλδασος μέγας,
Γαύδανον ὅπερ, Βελγικῆς γαίης ἄστυ,
Ἤνεγκεν ὃ τριχῇ τε ῥοῦς διαῤῥέει,
Τὰ δ' ἤρεως ἄριστος ὢν ποτοῦν ἔδμεν.
Ὅτου τε ἀντίσχυσε, πωποτοῦν αἶσα,
Κἂν μῶμος ἀντέκειτο, ἀνδρὸς ἐς λύμην,
Μεταῤῥυθμίζων τῷδε καὶ ὑμνητέα.
Εὖ τ' οὖν στρατοὶ ὥρμηντο ἀντὶ ἀλλήλοις,
Ἱππῆες ἀντείχοντο εἰσβολῆς πρώτης,
Ὡς εἰς φυγὴν τραπέσθαι ἀντιταχθέντας·
Ἔπειτα προσποιοῦντο, ἐς σκαιὸν κέρας.
Ἀτὰρ θόαζον πρός με, ὡς εἶχον τάχους·
Μαρνάμενον Γίλδασον, ἠδὲ Κουρῆτας,
Ἀφέντες αὐτοῦ, νάσφιν ἀμυντηρίων.
Ποδηγέτει δ' ἱππῆας ἄλλος στρατάρχης,
Φερώνυμος τὰ πάντα πικρᾶς Ἀμάρας.
Οἱ δ' ἀναθαρσήσαντες, ὥρμηντ' ἀντίον,
Σεύοντο δ' οἱ σεύοντες ἀμπαλίνοροι,
Καὶ κάτθανον Κουρῆτες ἀκμῇ φασγάνων,
Κἂν Γίλδασος δὴ, εἴρηται ὡς γεννάδας.
Τοίως ἀπερρίζωτο ὄγμος Κουρήτων,
Αἰῶνα εἰς ἄπειρον εὐθαλησάντων.
Πάλιν δ' ἔγνωτο, καὶ πάλιν θροιλλητέον
« Ὡς οὐκ ἀγαθὸν ἡ πολυκοιρανίη. »
Εἰ γὰρ μόνος Γίλδασος ἦ οἰακίζων,
Οὐκ ἂν ἐναυάγησα, τοῖσιν ἀγμοῖσιν.
Πρόσχου δέ μοι παῖ, κἄλλο ἀκληρωμάτων·
Καὐτοὶ φενακίζοντες οἰωνισμοί τε.
Τουτὶ προσαυδῶ, καὶ περατώσω λόγον.
Ἰχθύν τιν' ἐν φλοίσβοισιν ὤπτανον μέγαν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀείποτ' ἐμπαίζοντα ἄλλοις ἰχθύσιν,
Ἀεὶ τ' ὀπιπτεύοντα ἀρκταῖον πόλον,
Βαιὸν τετραμμένον τε κἀμελῶς πρός με,
Ὡς σάλον ἐκ πόντοιο προσμένειν μέγαν,
Ἀλλ' ὅς γε πρὸς γένης μέν, ἀλλ' οὐκ ἐκ πόντου.
Καὶ θάμβος οἰώνισμα, ὡς παρεσφάλλη,
Μὴ σφαλλὲν οὔπω, ἤ βρέμουσ' ἄρειά τις.
Ἐπάρατοι δὲ Ἀμάρᾳ σκευωρίαι,
Δόλοις γοητεύουσαι οἰωνισμούς μοι,
Τοσατίων μὲν αἴτιοι δεινῶν φῦσαι,
Λύμας ἀέλπτους προξενοῦσαι τοσαύτας.
Αἴ αἴ τάλαινα δυστυχεστάτη πάτρη,
Τρὶς τάλαιναν ὀνομάζειν σε χρεών.
Νῦν δὲ ἀτεμβωθεῖσαν ἀφθίτου κλέους,
Καὶ εἰκότως δέρκω σε ἐκλελυμένην,
Δακρυῤῥοοστένουσαν, ἠλλοιωμένην.
Ἀοίδιμοι Κουρῆτες, ἐξ ἀριστειῶν,
Πέρασσι γαίης πᾶσιν ἐνδεδειγμένων.
Αὐτοὺς κλάω οἴκτιστα τέξαντας μᾶλλον,
Ὧν ἄλγε' ᾐσθάνοντο ἠσύχῳ γόῳ
Εὐπαρμυθήτων, ὡς τάδ' ἐκφορᾶς ἄνω.
Μόνῳ δὲ πάντων, συγγραφεῖ ῥοῦς δακρύων,
Πικρῶς ῥεόντων, οὐ λῆγε παιδὸς χάριν·
Οὗ τηλόθ' οἰμώζοντος, ἤκουσται τάδε.
Γεώργιε, κράτιστον ὧν ἔσχον φίλτρων,
Τέρψικος ἐλπὶς γήραός μοι ὑστάτου.
Ὤμην σιωπῇ ξυμφορὰν τλήσασθαί με,
Ἢ ἠσύχῳ γόῳ τε συμπαρμυθεῖσθαι,
Ἀλλ' οὐκ ἀνεκτὸν, ἦν καλύπτηται ἄλγος,
Σπλάγχνοις διῆκον, κῆρ τε πλῆττον καιρίως.
Ποῖ θαλάμων ᾤχωκας, οἷα νυμφευθείς;
Τίς θαλαμηπόλος τε δέξατ' ἐν δώροις;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τόδ' ἦν ὃ τίσας πατρὶ εὖ τεθραμμένος;
Τόδ' ἦν ὃ μίμνον ἐσχάτῳ ἐμῷ γήρᾳ;
Ἐπεὶ δέ σοι πέπρωτο μὴ γῆμαι νύμφην,
Ἀλλ' ἐν μάχαισι κατθανεῖν τετρωμένον,
Φεῦ πῶς ἄτυμβον σκευάσω σοι κηδείαν;
Φεῦ! τίς τ' ἐπῳδὸς ἄσεται θρηνωδίην;
Ἔστω δέ σοι κῆρ τοὐμὸν εὔσκευος τύμβος,
Ἔπος δὲ βαιὸν εὐφραδὴς μονωδίη.
Εἰ οὖν σε χεὶρ κατέκτα, Κάρβανος φῦσα,
Ποίοις βορὰ γέγαας ἄριστος παίδων;
Κύνεσιν οὐ πείθει με· καὶ γὰρ σιτεύων,
Κύνας τε ἀργοὺς ἦσθα οἷα θηρήτωρ.
Ἆρ' οὖν γε οἰωνοῖσιν; εὔπιστον τόδε.
Τάχ' ἂν ἀμοιβαίοισιν ἐκθηρεύοντι·
Μάκαιρα μήτηρ, πότμον ἢ προπέφθακας,
Μὴ παιδὸς εἰδεῖν τέρμα τοῖον φθιμένου.
Κἂν ἀξιάγαστον τόδ' ἐξ ἀειμνήστων,
Πάτρης ἕκατι μαχέσαντος ἄριστα.
Ἐπάρατος δ' ἄληκτα, ἔλξις ἀμάρα,
Πικρῶν ὑδάτων, ἐς πέδον Γορτυνίων.
Εἴθ' ἄν γ' ἐτερσαίναιτο, ὡς ἂν μὴ ἔλξῃ.
Τοίοις δ' ἐτερμάτιζε συγγραφεὺς γόον,
Ὦ καὶ συνήλγουν, ξυμφορᾶς ἐφιστάσης.
Ἐῶ δὲ τἄλλα νοστέω δέ σοι πάτρη.
Οὔτις τεταμίευτο ἐλπὶς ἐν τοῖς δε;
Κἂν ὡς ἀνακτήσαιμεν, ἔμμοχθον κέαρ;
Εὖ οἶδ' ἓν ἀτόπημα ἡγεῖσθαι ἄλλοις.
Ἄπειρον οὔτις ἔγνω ἀλληλουχίην.
Πίφαυσκε πρὸς θεοῦ μοι ἡδίστη πάτρη.
Λέξω προθύμως, οὐκ ἄμοιρος ἐλπίδος.
Οἵμοι Σιβύλλης τοῦπος ἐκ θεσπισμάτων,
Ἐν ᾧ προηγόρευε Θρῃκῶν κοιράνῳ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπὰν πόλιν λήψοιτο ἐν προβάτοισι,
Λέοντα γαμψώνυχα αὐξήσαι μέγαν,
Ἀλλ' εἰς κινηθμὸν, πατριᾶς κειμηλίων,
Οἷς γαῖαν αἱρήσει τε, καὶ μόχθων ἄτερ.
Καὶ τοῦδ' ὑπαί τε ζυγὸν, αὐχένα θήσειν,
Ὡς μὴ ἀγάλλεσθαι ἔτ' ἐντίμοις σκήπτροις.
Λέοντ' ἐγῷμαι, οἷς ἔπεσσ' ἠνιγμένον.
Οἷα προεξάρξαντα, ἧς χορηΐης,
Ὀτμανίδαι ἤρξαντο πρός με λυσσώδεις·
Ἄτλητα γὰρ τοιαῦτα κοιράνοις ἄλλοις.
Ἦν τὸ πρόθυρον πορθέοιτο Εὐρώπης.
Ἀελπτέον δ' ἥκιστα μὴ ἐκβῇ τάδε,
Εἰς σφῶν ὄλεθρον βασιληΐου δόμου·
Πεσεῖν θρόνων γάρ φησιν ἐκ Κυνῶν πέριξ,
Ὁρμήν τιν' αἰνίττουσα, ἄντα Θρηκάρχου,
Ἐκ γειτνιόντων παγκρατίστων ἀρχείων.
Πέρας δ' ἔχειν ἔοικεν, ὅσσα δυστόπων,
Μετατραπέντα εἰς διοίκησιν κρείττω.
Ἐν ᾧ γὰρ ἔνθα συγκεχώρηται τάδε,
Ἄντανδρος ἄλλος ἦρθη εἰς στολαρχίην.
Ὃς κἂν βραχήλιξ, ἀλλ' ὑπέρβιος μάλα,
Δήρης δαήμων, δειματώδης ναυμάχοις.
Παρεμφερὴς λέοντι, οἷα γαμψώνυξ,
Εἴπερ νόμιμος πατρὸς υἱεὺς ἀλκίμου.
Οὗτος κατ' οὖνομ', ἠδὲ κἀπίκλην μέγας.
Τοῦδ' ἄχρι πόντου, ἣν μυχοῖσι βαπτίζων,
Σκύλακος ἀλκὴν, τοῦδε πατάξας στόλον
Καὶ κώλυ' ἐς Κύδωνα, μὴ θῆναι τρίττον.
Ὡς μὴ περαιτέρω τε χωρεῖν δεινά μοι.
Ἔοικε γὰρ κάζεσθαι ὅπλοις πατρῴοις,
Οἷον λέοντι ἐμφερὴς ἡ γρυπόχειρ,
Κέκληται ὡς ὄνυξιν, ἐξαλαπάζων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠμὸν σκύλακα πατρὸς ἐξ ὁπλισμάτων.
Οἷς πίσυνός τ' ἔγωγε, κἂν μακρᾷ τλήσει,
Ὀ στέμμα χερσὶν αὖ ἐπ' ἰνίον θέσθαι,
Καὶ κοσμιωτέραν με ἢ πρὸ τοῦ δόξαι,
Ἕλδωρ καθὰ λέοντι ὑγροδαπέδῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΘΑΝΑΣΙΟΥ ΣΚΛΗΡΟΥ

ΚΡΗΤΙΚΟ ΠΟΛΕΜΟΣ.

Προτροπὴ Μητρὸς Κρήτης πρὸς παῖδας
τοῦ μηκέτι θρηνεῖν.

Ἤτοι

Κρητικοῦ πολέμου τὰ παραλειπόμενα.

ΤΜΗΜΑ Α'.

Τὸ μὲν πρόθυμον στερρόν αὐτό τ' ἀδμήτου
Φύσης ἡμῶν, φιλομήτορες παίδων,
Δεδειγμένον φέριστα εἰς τὴν νῦν πάλην,
Ἣν πρός μ' ἐγείρει Θρηϊκῶν θηρῶν σκύλαξ.
Ἔγωγέ, μήτηρ, μὴ ἄγασθαι οὐκ ἔχω·
Οὐ γὰρ στρατὸς νήριθμος ὠμῶς κλαγξάντων,
Δίκην μελισσῶν ἀμφί μοι τ' ἐνσκηψάντων,
Δεδειμάτωκε θυμὸν ὑμῖν γενναῖον,
Οὔτ' οὖν ὃς ἠτόνησε τῆς τούτων τόλμης
Ἐπεισπεσόντων, οἷα ἦθος ἀσκέπτων.
Ἀνειμένους δ' οὐκ ἴσχε δύστηνος μνήμη,
Παίδων φθαρέντων, αἱμοχρανθὲν ἐς πέδον.
Μὴν τὰ πάντα, οὐδὲν ἡγεῖσθε,
Γλίχεσθε τ' αἰθὲν ἢ ὁρᾶν μ' ἐλευθέραν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἅπασι γὰρ πρόδηλα αὐτοὺς ἐντόνως,
Οἱοντινοῦν ἀγῶνα ἐνδυκέναι,
Ἐμοῦ ἕκατι φῦντας ἀνδρὸς ἀγαθούς,
Ἀνθ' ὧν ἀγήρως χάριτα ὑμῖν ἄγω.
Νῦν δ' εὐστοχώτερόν τι αὐτοῖς ἀθροῦσα,
Ὅπας δοκῶ μοι οὐκ ἀρήϊα ῥέμειν,
Πάρεξ ἔθους ἐλχθεῖσι, δυσέρπετ' τάρβει.
Ὡρακιᾶν δ' ἐγῷμαι ἐξ ἀκουμάτων,
Ναυαγίης τοσῆσδε τηλικούτου στόλου,
Νήσῳ δυσόρμῳ ἠδὲ ναυτιλοφλόρῳ,
Οὗ γυμπόχειρ ὄλωλε συμπεπνιγμένος.
Τὸ δ' οὐκ ἀνεκτὸν εἴγε τῶν πολυσθένων
Ἔμοιγε μᾶλλον ἢ γόον περαινούσῃ,
Ἐλπὶς τεταμιεύετο, ἐς θυμηδίην
Εὐψυχίης τοῦ ἀνδρός, ἀτρέστου φῦντος.
Ἐπεὶ δὲ ταῦτα τῆς φορᾶς ἀκηράτων
Τὰ νέρθ' ἐχούσης νωλεμεῖ ἀλλοιώσει,
Εὐωριᾶν οὐκ εἰκὸς οὔτ' ἀθυμέειν.
Δειλῶν τόδ' ἔργον, κουτιδανῶν τῇ φύσει,
Οἷς κῆρ δύσοκνον ἄχθεται μάχης ἔργον·
Κλάουσαν αὐτὴν, ἣν ἴδατέ με ἀρχῆθεν,
Οἴδατ' ἔτ' ἀβρὸν τῆς φυῆς γυναικείης.
Ὑμῖν δ' ἰφθίμοισιν οὐ θέμις τάδε,
Οἷς στέρνον εὐρύ, πωποτοῦν τάρβος δάμνει,
Μᾶλλον δ' οἱ ὠπάσαντες ἔργ' ἀναρσίοις.
Ἀλλ' εἴδετ' ἔνθεν εὔνουν προμηθίης,
Σκάφη τὰ πλεῖστα ἐξόλωλε παμπήδην,
Λώβης ἄνευ δὲ κωπέες σεσώσφαται.
Ἀγαμένως δ' ἤγοντο εἶν ἑνὶ πρός με,
Καὶ ἠνὶ αὖθις, κενὸς αὐτίκα στόλος,
Τεταγμένος τέτευκτο ἰσάριθμός τε,
Ὡς ἐκπλαγεῖσθαι δυσμενεῖς τοίου τάχους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μὴ οὖν, ἄριστοι, ἔστ' ἔτ' ἐξεστηκότες,
Μὴ πρὸς θεοῦ ἴσχεσθε, μητρὸς ἀμύνης.
Καὶ μὴ πτοείτω ἐξώλειά πως,
Κἂν γὰρ λέοντι ἐμφερὴς ὡς γεννάδας,
Ἀλλ' εἰς λέοντα, τὸ πρόφαντον Σιβύλλης,
Ἐς οὔτιν' ἄλλον, κἄν τε παῖς τῶν γνησίων.
Πρόσχου δ' ἕκαστος μητρὶ φροιμιαζούσῃ,
Τῶν εἰς θέαν μοι κ' ἀκοὴν ἀφιγμένων.
Οὐ πρὸς χάριν γὰρ, οὔτε θωπείαν λόγος,
Κἄν βαιὸς ἀτρεκῆ δὲ, ὅσσ' ἐπαγγέλλει.
Ὑμῖν δὲ βάθρον ἐμπεδοῦν θυμηδίην,
Τόδ' ὡς σοφός τις γνωμάτευ' ἐνεστῶσιν.
« Ἀρχῆς ἐνέδραις καὶ δόλοις πεφυρμένης »
« Δύσπρατον αὐτῇ τέρμα προσδοκητέον. »
Ὁ γοῦν λέων μοι ἦν ἰαύων ἀτρέμα
Τανηρήτω πτέρυγε συστὰς ἀμφ' ὤμοις.
Ἐπὰν πέπαυται προσπαλαίων Ῥωμαίοις,
Φυεὶς ἀρωγὸς τῶν πρὸς ὄρχαμον πάρμης.
Ὦ ἤμυνε κράτιστα μὴ δονεῖσθαί πως,
Ὧν ἐμβάτευον οἱ ἄνωθεν ἐκτήτων.
Ὡς χρῆμ' ἀνῆκον τῷ κράτει πολιτείης,
Ὡπλίζετο σκύλαξ δὲ θηρῶν Θρηΐκων,
Σκευωρίην λέοντι λάθρα τεκταίνων,
Ὕπουλον ἐνδὺς φιλίης προσωπεῖον,
Ὥσπερ τεκόντες ἔκπαλαι εἰθίσφαται,
Τὰ πάντ' ἀνατρέψαντες ἀκρίτοις δόλοις.
Θώπευε γοῦν πρεσβῆα καὶ γερουσίην,
Ἄλλοισιν ὡς ποιεῖτο τὴν δ' ἐκστρατείην·
Ἴθυνε δ' ὦπα πρὸς Μελίτας εὐθείᾳ
Ἐγκαρσίως δ' ἔτεινεν ὄμματα πρός με.
Πλάττει δ' ἐγκότως μέν, ἴσχειν πρὸς τούς δε,
Ἄτλητα ὑβρίσαντας ἀγχιάλια,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κακῶς λυμαίνοντάς τε ἔργον ἐμπόρων.
Καὶ δὴ ἀπαίρων ἔνθεν, ἐκ Προποντίδος,
Περᾷ διάπλουν Κυκλάδων καὶ Κυθήρας,
Ἄγων τριήρεις ἀμφὶ ὀκτάκις δέκα,
Καὶ φορτικὰς ναῦς ὡς ἑκατὸν τετράκις.
Θοάς τε κοίλας λῃστρικὰς Μαυρουσίων,
Ὡς εἴκοσι πρὸς πέντε ἰσχυριζούσας στόλον.
Φέρει δ' ὃς ὡς τέσσαρας ὁπλιτῶν γαύρων
Μυριάδας οὐχ ἧττον, ἀλλὰ πλεῖόν τι.
Διῆλθε δ' ἄχρι τῆς Πύλου Μεσσηνίης,
Ἣν Ναβαρῖνον νῦν ἐθισμὸς κικλήσκειν.
Ὁδὸν δ' ἄνεισιν ἔνθεν ἐκτετραμμένως,
Τέκμαρ τι πρόσθεν μὴ δεδειχὼς κἂν ἧττον,
Τῶν πρὸς λέοντα κρυπτομηχανημάτων.
Ἅμα στόλου γὰρ ἐμφάνεια εἰς ἄκρον
Τὸ Κυάμου, ὃ Σπάθα ἥκουσται νέοις,
Ὁμοῦ δὲ καὶ ἅφιξις εἰς ὑπωρείην,
Ὁμοῦ δὲ κἀπόβασις τῶν στρατευμάτων
Νεηλύδων τε, ἱππέων θ' ὑψαυχένων,
Ἐμῆς Κύδωνος, παιδὸς ἀρίστης, πέδῳ,
Πάρος βαθυσκίῳ μὲν ἀβρῶν λειμώνων,
Βαθυσκίῳ τανῦν δὲ ὁπλίτου στρατοῦ.
Οἳ πάντ' ἐδῄουν κἀδεῶς ἐπυρπόλουν,
Νεὼς ἀγαυοὺς κἀρικυδεῖς οἰκίας,
Φεισαμένων κατ' οὐδὲν ἱερατείων.
Πέριξ δέ γ' ἐσκηνοῦντο, λευκὸν ὡς νέφος
Ἐπισκιάζον εὐρύτητα τοῦ πέδου.
Ὁ δὲ στρατηγὸς ἵδρυται στρατοῦ μέσον,
Σκηνῇ φαεινῇ, Φοῖβος οἷα εἰν ἄστροις.
Πῆξεν τ' ἀμφὶ ἐρκίων καὶ μαχεῶνας,
Ἀσφαλέας κράτιστα ἐκ πυρεκβόλων.
Σφοδρῶς δ' ἔπαιε νῦν ταλαίπωρον πόλιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἥμος σκοπὴν τε τὴν Θεουδωρῶ στόλος,
Συνεγκύκλοι μὲν βάλλε τ' ἐν πυρεκβόλοις.
Καὶ Βλάσσιος τοὔναντι ἐξ Ἰουλλίων,
Ἐπιστάτης εὔορκος, ᾗ τεταγμένος,
Ἀμείβεται ἄριστα βάλλων τοῖς ἴσοις.
Αὐτοὶ δὲ προσπέλαγον ὁρμῇ οἰστρώδει,
Καὶ τὴν δ' ἐπιβρίθουσιν ἐκ νεηλύδων,
Ὡς Βλάσσιον συγχεῖσθαι, ἢν ἀρωγή τις
Αἴφνης μὴ ἐπρόφθασε τοσαύτῃ θλίψει.
Ὦ μήνυα στόλαρχος αὐτῷ προσχωρεῖν,
Τιμᾶν δὲ γ' ἐγγυᾶτο ἐν μεγίστοισι,
Κἂν χριστόλατρον μὴ ἀπόμνυται σέβας.
Αὐτὸς δὲ ὑπείκειν πλάττεται φιλοφρόνως
Φρουρὰν προδοῦναι κἀμαχητὶ θ' ὡς ἕλδωρ.
Ἀλλ' ἴδ' ἀριστούργημα ἀνδρὸς γενναίου.
Πύλας ἔωγε καὶ λαοὺς παρεισάγει.
Ἔπειτα πῦρ ἐμβάλλει, εἰς ὅπλων βάριν,
Ἐν ᾗ τεταμίευτο πυρφόρος κόνις,
Καὶ πυρπολεῖται ἅμμι γ' ἐμβιβασθεῖσι,
Τὸ δεύτερον φὺς δεῖγμα Σαμψῶνος πρώτου,
Εἰς δυσμενῶν ὄλεθρον αὐτοσυνθνήσκων.
Ὡς πρῶτον ἦλω ἡ Θεουδωρῶ φρουρὰ,
Ὡς δυσχερῶς τε, καὶ προχεύμασ' αἱμάτων.
Τῆμος τ' Ἀσᾶνος μαχεῶνας κραιάνας
Ἐγκαρσίως ἐκχοΐζε πρὸς τεῖχος.
Ὡς νέρθε τῶνδε συμπεσεῖν ἄβλητός τε.
Σκηναὶ δὲ τ' ἠλθαίνοντο μακρὰν τῆλέ τε,
Ὡς συνδοκεῖν τιν' ἄλα κυματουμένην.
Ἀσᾶνος αὖ μεσηγύς, οἷα στρατάρχης,
Σκηνὴν ἑὴν ἤμειβεν ἀλλοίως ἄλλῃ,
Δεικνὺς πολυτέλειαν, οὗ ὑπηρέτης.
Αἰψηρὰ δ' ἠκόντιζε δύσσουν πόλιν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πυρεκβόλοισιν ἧς δόμους καταστρέφων.
Πολλοὶ τ' ἐλυμαίνοντο οἴκτιστ' ὠμῶς τε.
Καὶ προσπίεζεν οἱ ἀνοίγνυσθαι πύλας
Τάχ' ἂν δεδοικὼς ἔνθεν ἤλυσιν στόλου.

ΤΜΗΜΑ Β'.

Σκέψασθε γοῦν, ὦ παῖδες ἐκ λαβῆς πρώτης
Ὀτμανίδων οἴησιν ἠτονηκυῖαν.
Ὃ παρμυθοῦν αὔταρκες ἦτορ στυγνόν περ.
Χρεὼν γὰρ ἀνδρείοισι, οἷς μέλει μάχης,
Δόλους ὑφαίνειν μηδαμῶς σκευωρίης,
Καὶ μηχαναῖσι δρᾶν κακῶς τοὺς γενναδας,
Ἀλλ' ἢν δίζοιντο, κἂν ἄθεσμ' ἀπαγγέλλειν.
Ὁ δ' αὖ παρασπονδήσας, ἑρμάσεις ῥήτρης,
Πέπραχεν αἴφνης ταῦτα κρυπτοῖς δόλοισι.
Τέκμαρ σαφὲς τόδ' ἐκκλύτων Ὀτμανίδων·
Φθορᾶς κράτους τε φοιβασάσης Σιβύλλης,
Τῷ εἰς λέοντα, νῦν παρακροῦσαι ἄφνω.
Ἀλλ' οὐ τάδ' ὃν λέληθε, κἂν ἴαυέ πως,
Καὶ ἔγρεται νηφαντὸς ἐν Γερουσίῃ,
Δούπησέ τε πτέρυγε ἐγκότως ἔχων.
Ἑνστὰς δ' ἔφεδρος, ἐν μέσῳ δημηγόρει,
Μίμνησκέ τε πρόκριτα τοιάδ' ἐννέπων.
« Ὦμην, ὦ ἄνδρες συμπολῖται καὶ παῖδες,
» Τὸ κοινὸν ἡμῶν μέχρι που εἰρηνεύειν.
» Ἐνθύμιον κράτιστον ἐν πολιτείαις,
» Θροιλλημένον φέριστον ἐν συμβουλαῖσιν,
» Ἐμοί τε καὶ ἀρχαίοισιν ἠρετημένον.
» Ὡς κρεῖττον εἰρήνην μέν, ἢ μάχης ἄγειν.
» Κρειττων γὰρ ἡ βλάπτουσα κοινοῖς εἰρήνη,
» Ἢ κτῆσιν ἡ αὔξουσα πραγμάτων μάχη.
» Ἡ μὲν γὰρ ἡ σώτειρα καὶ ἐπικτήτων,
» Ἡ δ' αὖ συνοῦσα ἀμφιδοξούσῃ τύχῃ·
» Τὰ πλεῖστα ἠμάλδυνεν αὐτὰς ἀρχάς τε.
» Τοὐνθύμιον νῦν ἦν ἂν ἡμῖν ἔκκριτον,
» Μηδὲν θ' ὑποπτεύουσιν ἐξ Εὐρωπαίων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔνθεν μετεστέλλοντο Ἀμφίμαλλόν δε,
Ἓξ πρὸς δέκα πρὶν Βελγικὰς κοίλας νῆας,
Μαρῖνον αἳς ὕπαρχον οἴκου Καπέλλων,
Ἕτατταν εἰρύοντα Φύξιμον κόλπον.
Ἔνταλμα δὴ Φραγγίσκῳ ὡς ἠνωμένος
Μαρίνῳ ὁρμήσαιε, ᾧ χρειὼ σπέρχει.
Αὐτὸς δ' ἄλοὺς δὴ Κορκύρᾳ δεινῇ νότῳ
Κεκώλυται διαύλου, ἠδ' ἀρωγῆς μοι.
Καὶ ἀντέπεμπαν Μαυροκῆνον Φραγγίσκον.
Ὤψιζεν ἔμπης ἄλκαρ εἰς ἀρωγήν μοι·
Κεκώλυται γὰρ μὴ ἔνωρος πρὸς πάλιν,
Ἐξ αἰτίας χ' ὃς ἀσχοληθεὶς τοιᾶς δε.
Δὶς γὰρ δύω ναῦς Βελγικὰς θοὰς κοίλας,
Βαθείας εὑρήκεις τε, κἀξωπλισμένας,
Ἰλλυρίων πλήσαντες ἀνδρῶν εὐζώνων,
Εὐθὺ μετεστέλλοντο πρὸς Κυδωνίους,
Ὡς ῥωννύσωσιν ἐλλοχωμένην πάλιν.
Ἐπέτρεπον δ' οἴακας οἴκου Λειόνων,
Σίμωνι φαιδρῷ, ᾧ γ' ἐφετμή τε
Θᾶττον διεξεῖναί τε, καὶ πληροῦν τ' οὖργον.
Ὃς δ' ἦνυ' ἄλλην καὶ ἐφετμὴν ἠθέτει.
Ἐπὰν γὰρ ἦκεν ἄκρα πρὸς τὰ Κωρύκου,
Ἅπερ τανῦν Γράβουσα εἰώθει κλύειν,
Ἐς τὸ Κριοῦ μέτωπον, εὐθύνει πρώρας·
Τραπεὶς δὲ λαιὰν Ἀφρικὸν περᾷ λαῖτμα,
Θᾶττον διήκων ἄκρον ἐς Σαμώνιον.
Καὶ εἴργετ' ἔνθα, πρὸς ζεφύρου ἐντόνου,
Πλοῦν οὔριον νήεσσιν ἀντιφράττοντος,
Τυχὸν δὲ συμπράττοντος, ὡς ὀῤῥωδοῦντι.
Ὁ οὖν Κάπελλος, ἐν τοσαύτῃ νωθρείᾳ,
Αὐταῖς ἀπάρας νηυσὶν Ἀμφιμαλλόθεν
Σίμων' ὑπήντα, σχετλιάζων εὐώρῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐν ταῖς δ' ἵκανε Μαυροκῆνος Κυθήρᾳ,
Κᾀξ Ἀμφιμάλλου προσκαλεῖτο ναῦς κοίλας,
Ὡς ἂν συνημένοι τε πέρσωσ' ἐντόνως
Κύδων' ἀπηνῶς ἀμφιπλήττοντα στόλον·
Νηῶν δ' ἀνετρέποντο πάντα νωθρείης.
Ἦν ἵκανον γάρ, ὡς ἐφετμὴ εὐκαίρως,
Οἱ δυσμενεῖς μὲν ἢ φυγάδες ᾤχοντο,
Ἢ πυρὸς ἔργον εἶαν ἂν αὐτῷ στόλῳ,
Αὐτὴ Κύδων τε πείρας ἂν ἀπηλλάγη.
Ἐπεὶ δὲ ταῦτα ἐξέβαιν' ἐστραμμένως,
Ἀνθύπατός μοι, φαιδρὸς ἐκ Κορνηλίων,
Θαλασσίηθεν ἐμβιβάσαι ᾠήθη,
Κᾀν χρημάτων ἀριθμὸν ἱκανοῦ μέτρου·
Εὖ οἶδε γάρ κεν ὅσσον ἡ τῶν δε χρῆσις,
Γάννυσιν ἀλκάζοντας, οὐκ ὀκνεῖν ὅλως
Ὅπου δεήσει, κἀποθανεῖν τε ἀσμένως·
Καὶ Βηνέδικτος, εἷς νεῶν ἐπιστάτης,
Οἴκου Κανάλων, ἀντιλαμβάνει τοὔργου.
Ἦν γὰρ μεγάθυμός τις Οὐενετοῖς ἄλλοις,
Οἷς δαψιλεύει φύσις ἀνδρείᾳ κάζειν·
Ὃς κἀπιβὰς δὴ ἐντρεχεῖ ἡμιόνῳ,
Ἀπ' Ἀμφιμάλλου νηκτὸς αἴρει πρὸς πόλιν.
Εὐτολμίᾳ οὐχ ἧττον' ἱστορουμένης
Τῆς Κυρτίου ἄριστα, εὖ τ' ὑπὲρ πάτρης,
Ἔφιππος εἰσώρμησεν εἰς φυὲν χάσμα.
Τοιαῦτα χρησμωδοῦντος εἰσηγουμένου.
Τοιόσδε Βηνέδικτος ἐς ζῆλον πάτρης,
Κᾀν οὐ τόδ' εὐτύχημα ἔσχε Κυρτίου,
Αὐτὸς κατέπτη χάσμα, καὶ σώζει ἄλλους,
Οὗτος δ' ὑπείκει πάτρῃ, ἄπρακτα θνήσκων.
Οὐ γὰρ πολιορκοῦντας ἦν λαθὼν σπεύσας,
Ἀλλ' ἠφανίσθη ἐς βαθὺ στρατοῦ χάσμα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπεὶ δ' ἄπο σκοποῦ τόδ' οὔτ' εὐδαιμόνως,
Συμφράζεταί τε, δεύτερον Κορνήλιος
Τριήρεας τρεῖς ἁλόθεν παρεισάξαι.
Κἂν πρὸς γένης ἦν ἐκβὰν, ὡς ἀργαλέον.
Καὶ Μαυροκῆνος προσδέδεκτο λατρείην,
Ὁ καὶ ἔπαρχος τῆς ἐμῆς οἰκουρίης,
Ὁμοῦ Βαδουάρῳ τε, υἱεῖ τ' οἰκείῳ,
Αἰκατερίνῳ τοὔνομα, ἀτριῃράτῳ.
Καὶ νυκτὸς αἴρουσ' Ἀμφιμαλλόθ' ἡρέμα,
Πόλιν δὲ τ' εἰσβαίνουσι, λήσαντες λόχους.
Οὐκ ἦν δ' ἄφιξις ψυχαγωγίη μόνον,
Ἀλλ' ἤλκαζον φέριστα μέχρι καὶ τέλους.
Ἐπὶ τοῖς δ' ἐπεσκέπτοντο ποιεῖν ξυμβάσεις
Οἱ προστάται πόληος οἵ τε ἐν τέλει,
Μὴ θέντες ἐς νοῦν ὁππόσα πολιτείη,
Καὶ ἀνθύπατος ἔνθεν ἦν προμηθέων.
Καὶ ὡς πόλις πληροῦτο τῶν ἀναγκαίων,
Τρυφᾷν κάλλιστα εἰς ἐπέκτασιν λόχου,
Ὀῤῥωδίη δ' ἔνυττε συγχωρεῖν ῥήτρην.
Αὐτῷ Ἀσάνῳ πλεῖον οἷς ὀῤῥωδοῦντι.
Ὑπέγραφον δ' ἅπαντες, οἷς προσῆκ' ἔργον,
Καὶ ἀρχιθύτης συμπέπειθε πρὸς τόδε.
Μέντοι γε Μαυροκῆνος οὐκ ἔνευέ πως,
Ἀλλ' ἐμμένειν ἔπειθεν ἦλυσιν στόλου,
Ὃς δηρὸν οὐκ ἔμελλε προσδιατρίβειν.
Αὐτοὺς δὲ προσβίαζεν, οὐκ οἶδ' ἂν δαίμων,
Στόλου οἳ αἰτιῶντο μακρὰν νωθρείην.
Γλίχοντο γάρ κεν ὠκέως πληροῦν μάχην,
Ἐπεί δέδοικαν θούριόν τιν' εἰσβολήν.
Καὶ προυδίδοτο αἶψα κἀλόγως πόλις
Ὧμῷ στρατηγῷ, ξυμβάσεσι τοιαῖς δε.
Ὡς μὴ πρὸ ὀκτὼ ἡμάτων αἰτεῖν ὅρμον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐᾷν δ' ἀπαίρειν μὴ θέλοντας ἐμμένειν,
Αὐτῶν φορεῦσιν, οὐσίαις τ' ἐξ ἐκκρίτων
Κἂν δῆμος ἀντέρειδε· λοιποὶ κτανθέντων
Ἐκ τ' εὐγενῶν τε, χ' ὁπλιτῶν μισθαρνέων,
Ὑπερβεβηκότων τε τῶν τρισχιλίων,
Μέμαον ἀλκάζειν γὰρ ἄχρι καὶ πότμου,
Ἀρχῆς ἀπ' ἄκρης φῦντες ἄνδρες ἀγαθοί·
Διήρκεσαν γὰρ τοὐπίπαν μῆνας δύω
Ἀιὲν μοναλκεῖς, πωποτοῦν κεκμηκότες.
Κἂν οὔτις ἦε προστατούντων θαῤῥύνας,
Οἵκοι παρέργως ἀσχολουμένων κύβοις.
Ἀεικὲς ἔμπης οὐνομαστὶ μεμνῆσθαι,
Ὧν θυμὸς ἐξέλειπε πατρίδος φίλτρον.
Ἐπὰν δ' Ἀσᾶνος . . . . . :
Μάχῃ δ' ἐτερμάτιζεν, εἰς ἀστρατείην
Καὶ φαιδρὸς ἦει εἰς ταλαίπορον πόλιν,
Παρεῖδε συμβάσηας, οὔτε τηρέει,
Καὶ δίζεται πόληος εὐρὺν λιμένα,
Πρὸ τοῦ περαίνεσθαί τε ἡμάτων ὅρον.
Καὶ Μαυροκῆνος ἐκμολεῖ σὺν κοινῶσιν,
Ἔνθεν βιασθεὶς ἐκ λιχνείας Ἀσάνου.
Κρατοῦντες αἷς ᾠχοῦντο πρόκριτοί τ' ἄλλοι.
Μόνος Μανουῆλος δὲ, οἴκου Μορμόρων,
Ἀνὴρ πρόφρων μὲν, ἴδρις ἐν νόμοις μέγας,
Μέμεινεν αὐτοῦ τοῖσι συνδιαιτᾶσθαι,
Δοκοῦν μὲν ἀλλ' ἄδηλος, ἀγγελιῶ τις,
Τῶν ξυμφόρων ἔμοιγε πράγματι γνῶσθαι.
Ἄλλως γὰρ οὐ πείθει με, νουνεχῆ ἄνδρα
Μὴ αἰσθάνεσθαι, ὡς ὁμοῦ διαιτᾶσθαι
Σὺν ἀφράδμοσιν, οἷς ἐκλείπει λόγος,
Οὐκ ἔστιν ἔλπειν εὐτυχῶς δραμεῖν βίον.
Τέως κατ' ἦμαρ ἦν Ἀσᾶνος συκάζων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀνατρέπων συνθήκας ἠδὲ ξυμβάσεις·
Ἐνδάπιον γὰρ ἐκ τριήρεων μίαν,
Ἐν ᾗ ἐφίστα Σταφυλᾶς Ζαγγάρουλος,
Καὶ πρόκριτοι Κύδωνος ἴσχον οὐσίας,
Σὺν Μαυροκήνῳ ἐκ ποδὸς στιχωμένην,
Αὐτὸς μὲν ἀντήνωγε μὴ ὁμαρτέειν,
Καὶ βούλεται κωπῆας ἐκμολεῖν σκάφους,
Ὡς ἰδίους τε, βασιλεῖ θ' ὑπηκόους,
Καὶ οὐσίας τε εἰς νεήλυδας χωρεῖν.
Οὐτωσί πως Κύδωνα ἀσφαλῆ τάττων,
Οὐκ ἀτρεμεῖ τοιοῖσδε· ἀμβολῆς ἄνευ,
Ἐς Ἀμφιμάλλου φρούριον τρέπει νόον,
Εἰδὼς κάθεξιν τοῦδε, ὡς ἀναγκαίαν
Ἐς εὐχερῆ πρόσκτησιν αὐτῆς μητέρος,
Καὶ ὡς κρατῶν ὁ τοῦδε κύριος νήσου.
Ἀλλ' ἅπτεται τὸ πρῶτον ὑφάλου πέτρας
Ἐξευμενίσων προστάτην μειλιχίοις.
Πρέσβευε δὲ πρὸς ταῦτα εἷς Πρεμαρίνων,
Πρὶν ἂν φύγῃ Κύδωνος ἄμμιγα πλείστοις,
Εὐπατρίδαις ἄλλοισιν, Οὐενετῶν γόνοις.
Προσίεται δὲ Μαριπέτρος πρεσβείην,
Ὦ Μιχαῆλος τοὔνομ' ὡς ἂν μὴ κεύθω,
Οὐχ ἧττον ἔνθα προστάτης ἢ ἐρκίτης,
Ἀνὴρ ὑπέρτιμός τε τὰ πρὸς μαθήσεις.
Καὶ λῖτι δ' οἱ κάλυψεν ὀμμάτων φάος,
Λῦ δ' ἐκκαλύπτων πείθεται τὰ πρεσβείης.
Ἀλλ' ἄψ ἰέντα τόνδε βούλεται πρέσβυν,
Αἱρούμενος θανεῖν μὲν ἢ προδιδόναι·
Γέρας δὲ Μαριπέτρῳ ἦν πέπειρός τις
Πέπων, ἢ εἷς μὲν ἦε πλείω τοῦ εἴδους,
Τάχ' ἀβρότητα προστατοῦντος αἰνίττων·
Αὐτοῦ δ' ἀμοιβὴ ἐκ μολύβδου σφαιρίσκοι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ πρὸς μάχην πρόθυμον ἀνδρὸς δεικνῦντος.
Οἷς χαλέπαινεν, ἠπόρει τε Ἀσᾶνος,
Πῶς ἂν ὑπερφέροιτο δυσχεροῦς ἔργου.
Ἐπεὶ δ' ἑκοντὶ οὐκ ἐνὸν κρατεῖν μήδους,
Ἄλλως διδράσκει πρὸς βίαν ὁρμημένος.
Καὶ αἱρετίζων ἐκ τριήρεων κρείττους,
Ἐς Φύξιμον πειρᾶτο εἰσβαίνειν κόλπον.
Μαριπέτρος δ' ὑπήντα ἐν πυρεκβόλοις,
Κακῶς δ' ἐποίει τὰς τριήρεις οὐτάζων,
Ἃς καὶ παλινδρόμους τε δέξατ' αὖ Κύδων.
Ὁ δ' ἀσφαλίσας κρεῖττον, ἢ ἐχρῆν, πόλιν
Ἀπέδρα ἐς Βύζαντος, οἷα χειμάσων.
Φήμη δὲ πὰρ μέδοντι νὶν μισθαρνῆσαι,
Καταστροφὴν βίοιο, κόρσην τμηθέντα,
Ὡς μὴ ἀριστεύσαντα πορθῆσαι πόλιν,
Ἔνοπλον ἐκ στρατοῦ τε καὶ πλέτου στόλου,
Ἐν ξυμβάσεσσι δ' ἆραι, ὧν ἐμπαίζοντες
Οἱ πρόσθεν ἀντείχοντο δαρθάνοντές περ.
Τοιαῦτα τῆνες πεπράγησαν προσπαίως,
Οὔτ' εὐτολμώτερόν τι, κἄξιον μνήμης

ΤΜΗΜΑ Γ'.

Ἤκμαζε δ' ἦαρ, καὶ ἑκάτερθεν στόλοι,
Ἐξηρτύοντο καρτερῶν ὁπλισμάτων,
Ὁ μὲν συνηγορῶν μοι ὡς ἀπαλλάξων,
Ὁ δ' αὖ ἀπειλῶν καββαλεῖν με παμπείδην.
Ἦν φέρτερος ποσῷ μὲν οὐμὸς ποιῷ τε·
Ἴσχε τριήρεις γάρ κεν ὀκτάκις δέκα,
Καὶ εἰκοσήρεις τάς δε ἡμισευούσας,
Καὶ τῶν μεγίστων ἓξ τε πεντηκοντόρων,
Αἳ ναυμάχοισι δεῖμα ἔσχατον μόναι,
Ἄστη ἐοῦσαι πλωτὰ ἐν φλοίσβοις πόντου,
Κεκασμέναι πέριξ τε πυρσοῖς ὀργάνοις,
Ἐξαίσιον θέαμα φιλοκάλοισι,
Καὶ νῆας, ὧν ἂν ἴδμεν εὐμήκεις, κοίλας,
Ἃς τεχνιτεύειν οἶδε Βελγικὴ γέα,
Αἳ βαιὸν ἐλλείπουσι πεντηκοντόρων,
Ἀριθμὸν οὖσαι αἵτε τετράκις δέκα.
Ὡς Ἰμβραΐμον δειδιᾷν τοίου σθένους·
Οὕτω κέκληται ὕστατος νῦν Ὀτμάνων·
Ἔμελλε δ' ὅς γε ἐξιάλλειν ὃν στόλον,
Μέντοι γε κρύβδην τε καὶ λαθεῖν ἀποδράντα.
Κἀντέλλεται στολάρχῳ ἐκκρούειν πάλην
Κἂν προσκαλοῖτο, ἀντίων ὑπαντώντων.
Ἀλλ' εἰρύεσθαι προσπελάζοντ' εἰς ὅρμον,
Ὡς ἐνδεέστερός με παμπληθοῦς στόλου,
Οὗ οἵδ' ἐφιζάνουσι πρέσβυν Καπέλλον.
Ἦν γὰρ τεθνηκὼς Μαυροκῆνος Φραγγίσκος.
Κἀπιτρέπουσι τῷδε ὅσσα τοῦ κράτους·
Ὑπῆρχε δ' ὅς γ' ἐν πᾶσιν ἀξιάγαστος,
Βουλαῖσιν ἄλλαις καὶ διοικήσει κράτους.
Ἀλλ' ἀδρανὴς μάχης τε ἠδὲ νηΐων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅτῳ τ' ἀληθὲς εἰ λέγοιτο τοῦ λόγου,
« Πεζῇ βαδίζω, νεῖν γὰρ οὐκ ἐπίσταμαι. »
Ἥκων γὰρ ἐν δέοντι Ἀμφιμαλλόνδε,
Οὗ τόνδ' ἔμιμνεν ἄλκιμος σύμπας στόλος,
Ἐμβὰς ἐὴν δὲ χρυσέην στρατηγίδα,
Κἢν ἦν προεξήρτυον ἐν σμικρῷ πρόσθεν,
Ὡς ἂν μὴ εἴη ἀμβολή τις πρακτέοις,
Αἴρει ἐπ' ἐξέναντι ὅρμον Μαράθρου,
Κἀκεῖσε ὡράϊζεν αὖ στρατηγίδα.
Τοιῶσδ' ἑαυτὸν ναυμάχων τάχ' ἐκκρούων,
Οὔπω μεμηλὼς κλειτὰ δήρεως ἔργα·
Μέμεινε γάρ κεν τῇδε ἄρτιον μῆνα,
Εὖτ' ἐμφάνεια οἱ στόλου τε ἠγγέλθη
Καὐτὸς στροφοῦτο, οὔτε βούλεται κλύειν.
Ὃς γὰρ τιταίνων, ὅσσον ἦν σθένος λαῖφος,
Οὔρου σφοδροῦ πνεύσαντος εἰσβαίνει πόλιν,
Καὶ τοῖσδ' ὁμαρτέουσιν, ὅσσα συμβάντα,
Καὶ ὅσσα δὴ ἔκλυτε αὐτῆς πενθούσης.
Φιλεῖ δὲ τοὺς γεννάδας, εὖτ' ἂν δήρεως
Ἀποσχέοιντο δηρὸν εἰρηνευμένους,
Ἀποκνέειν τὰ πολλὰ ἐξεστηκότας,
Καὶ μᾶλλον ἦν ἔνστασις εἴη ἐξαίφνης·
Τοῖον πέπονθε κύδιμος πολιτείη,
Αἴφνης ὑπ' Ἰμβραΐμου ἀδικηθεῖσα.
Κορνήλιος γὰρ ἀνθύπατος, βουλή τε
Ἐμοὶ προσοῦσα, τοῖσι δειματωθέντες,
Συγχώρεον τὰ πάντα μὴ βιασθέντες·
Μάλαξα εἴπερ, ἢ περίγραπταί μοι
Ποῖ τάξεως τέτυχεν, ὡς δύσβατός τε,
Χ' ὡς οὐδὸς ἔνθεν, καὶ στενωπὸς καὶ μία,
Φενάρολός τε αἱρέειν τεταγμένος,
Βουλῆς ἀνωγῇ αἵρεται ὡρμάτων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὐτὸς πίφαυσκεν ἀνθυπάτῳ μὴ αἴρειν·
Ὡς ἦν ἐᾶτο μὴ περᾶν τὸ τοῦ λόγου,
Κἂν ὄρνιν ὡς ἑνόν τε ἔνθ' ὑπισχνεῖτο.
Ἄλλως τε οἱ προσόντες αὐτῷ κωμῆται,
Ὑπὲρ πολιτείης τε ὁπλιτεύοντες,
Ἀπαλλαγέντες ἔνθεν αὐτὸ τοῦτ' εἶεν
Κατὰ πολιτείης μὲν, Ὀτμάνων δ' ὕπερ,
Μάταιον ἀφέντες ὅσσ' ἀνὰ χεῖρας
Λαβὴν παρείκειν δυσμενέσσι προσκρούειν·
Ἦν δ' εὔστοχος μὲν σκέψις ἡ Φεναρόλου,
Βουλὴ δὲ πᾶσα κέκληται τοὐναντίον,
Οὐ δρᾷ λόγος τι οὗ περ ἀντία τύχη·
Φαιδρὸς δ' ἀνὴρ οἰκτιστα νοστέων πρός με,
Νοσεῖ ἀθυμῶν, καὶ πρόωρος κηραίνει·
Ὃν ὁπλῖται κήδευον εὐφήμῳ πομπῇ,
Ὡς σφῶν κύβερνον, κεδνὸν ἐν διοικήσει.
Κλάουσα οἷόν περ παιάνιζον αὐτή τε,
Οὐχ ὅσσον ἠξιοῦτο, κοινῇ εὐέρκτης,
Ἀλλ' ὁππόσον διῆρκε καιρῷ συντόμῳ.
Φίλιππος αὖ Πωλάνος, ὢν εὐπατρίδης
Ἀποικίδος Κύδωνος ἐκ πολιτείης,
Ἔρυμα κώμης ἔσχε κλητῆς Κιστέρνων,
Δεξαμενῶν Ἕλλησιν, οἷά τις φαίη·
Πλευρᾶς ὑπέρκειται δ' ἡ ἀρκταίας κόλπου,
Ἣν καὶ ἐνίσχον εὖ μάλ' ὠχυρωμένην.
Ἦ δυσμενεῖς ὁρμόντες ἀθρόοι πίπτον,
Ὡς μὴ περᾶν οἵους τε ἔνθεν ἢ ἔνθεν,
Κάλλειπε χ' οὗτος, ἐντολῆς προστατούσης.
Πρὸς τοῖσδ' ἐμὴ Μηνώα ἡ πρὸς Μελλέχην,
Ἡ Ἱπποκόρωνόν τε ἄλλως κλημένη,
Καλλείπεται καὶ ἥδε, πρησθεῖσα πρῶτον,
Πρὸ τοῦ περᾶν τε δυσμενεῖς γῆν Μαλλάξης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δούπου μόνου τούτων δε προσβιασθεῖσιν.
Ἐπεὶ δὲ λιμπάνοντο ἔμφρουροι χῶροι,
Κόλπου πολίχνη, ἐξ ἑκάτερθεν λόφων,
Τοῦ Καλάμου τε, Καλλογήρου θατέρου,
Ὡς νειάτοις εὔαδε κικλήσκειν τούς δε,
Ἐπισκοπούντων οὔδας εὐρὺ φρουρίου,
Λόχοι συνηρμόττοντο ἐκ πυρεκβόλων,
Ὡς μὴ περᾶν ὁλκάδες ἐς τούτων ἔδαρ·
Ἐνθύμιον μέντοιγε ἦν ἀνθυπάτῳ,
Ὡς φρούριον τηρεῖσθαι εὖ τεταγμένον,
Καὶ μηδενὸς δέεσθαι ἐξ ἀναγκαίων·
Τέως ἀκέστορά τε ἦν μετασταλεὶς,
Τῶν φυσιογνώμων τε πρὸς χειρουργοῖσιν,
Καὶ τῶν δε συγγραφεύς μοι εἷς συνιστόρων,
Ἐξιστορῶν συμβάντα οἷά τ' αὐτόπτης·
Σταλεὶς γὰρ εἰς ἄκεσμα ὁπλιτῶν ἔνθα,
Πολλὰς ἀγώνων πείρας ἤσθετ' ἐξώλεις,
Οἵας λιμὸς, δῆρίς τε καὶ λοιμὸς φέρει,
Οἰκτρῶς ἐπ' ἀλλήλοισι τῶν δ' ὁμαρτούντων.
Ἀνθύπατος γοῦν συμπάσας αἴρει τάξεις,
Καὶ ὠχύρωτο ἐς Γεράνιον κώμην,
Καὶ Πετρέαν ἄλλην τε ἠσφαλισμένος.
Ἦν δύσβατος γὰρ χῶρος ἠδ' ὀρεινός τε,
Ὕπερθεν Ἁλμυροῖο ἐγκαθιδρυνθεὶς,
Δι' οὗ περᾶν οἷόν τε οὐκ ἦν μηδόλως,
Παύρων μὲν εἰς ἄντωσιν ἐξαρκουμένων.
Ἰλιγγιῶσι δυσμενεῖς τοιοῖσδ' ἔργοις,
Πῶς ἂν ὑπερφέροιντο δυσχερεσμάτων,
Καὶ ἤρεμοι μένειναν οὐκ ἀπωτέρω.
Ἔμπης ἐναντι αὖθις ἐμφανισθέντων,
Ἀφεὶς ὀχύρωμ', ἦγεν ὄχλον Ῥιθύμνῃ·
Οἱ δ' αὖ ἐνεδρεύοντες ἔθλιβον πόλιν,

Ἑκασταχοῦ προσφύντες ὁρμῇ ἐντόνῳ·
Πόλις δὲ ἠντίαζεν ὡς ἀποχρόντως,
Ἐντὸς μενόντων τειχέων τῶν ἐνδήμων,
Ἅπερ τέτειχεν ἐν παρόντι σπουδαίως.
Καὶ νοστέοιεν δυσμενεῖς ἀθυμοῦντες,
Εἰμή τι συμβὰν ἀντελάμβανε θρασεῖς·
Ἦσαν γὰρ ἀσπίζοντες ἱκανοὶ Γάλλων,
Καὶ πῦρ ἀνῆπται ἢ ἑκὼν ἢ κἀλόγως
Ἐς κάδον ἐμπλησθέντα πυρφόρῳ κόνει,
Καὶ πάντες ἐκπέφευγον αἴθος πυρῶδες,
Οἴοντο γὰρ τέχνασμα τοὐτὶ βαρβάρων,
Τάχ' ἂν κατωρύχεσσιν ἐκπορθησόντων·
Ὡς οἵδ' ἐπεισπεσόντες ἀτρόμῳ θάρσει,
Πόλιν κατεστόρνυον, οἰκτρῶς κτανθέντων,
Καὶ πῦρ ἀνῆπτον ὀρφανευθεῖσι δώμοις.
Ἀνθύπατος δὲ φρουρίου κατ' εἰσόδου,
Ἵστα ξιφήρης, οἷα ἐλκτὸς εἰς οἶκτον,
Καὶ συγκαλεῖτο φυγάδας παρεισάχθαι,
Ὡς μὴ ὄλοιντο πάμπαν ὄχλοι στρατός τε,
Καὶ εἰρύοντο τῇδε ὡς ἐξῆν πλείους.
Τιτρώσκεται δ' ὃς στέρνον, ἄτρωτος θυμῷ,
Πυρεκβολίσκῳ, ἀπβιοῖ δ' αὐταῖν ὥραιν·
Βύσσον δ' ὁ πορφύραν τε ἀμφιεννύων,
Φεῦ, φεῦ, ἔκειτο πρὸς πόδας δούλων νέκυς·
Κἂν ζῶσι πομπεύσαντι ἄλλοις ἐν τέλει,
Οἴκτιστον οἶτος, ἡδὲ δύσπομπον κῆδος,
Ἔνδειγμα δῆλον ἀστάτου βροτῶν βίου.
Ἀρκεῖ δὲ θνήσκειν ἄνδρα ἕνεκεν πάτρης,
Ὦ καὶ ἔρως πρὸς τήν δε ἦν ὑπερζέων.
Τόδ' ἔσχε τέρμα ἡ Ῥιθυμνίων πόλις,
Ἡ ἀγχίνους μοι, καὶ εὔγλωττος πάνυ.
Μεθ' ἃ προόπτης Ἀλοῦσος Μινῶτος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βομβύϊσός τε ὢν ὑπέρτιμος τῇδε·
Ἄστει καθυργνύοντο ἠσφαλισμένοι,
Κἂν Κουϊρῖνος πρόσθεν, ὢν κυβερνήτης,
Πέφευγε δεῖμας, δήρεως ἐνοχλήσεις,
Ὡς μὴ πεπαιδευθείς τε πωποτοῦν τάς δε.
Καὶ δυσμενεῖς μὲν ἠπόρουν τί ἂν πρᾶξαι,
Μὴ εὐποροῦντες τειχορήκτων ὀργάνων,
Καὶ οἷα μήπως ἐξὸν ἄλλοθεν φέρειν·
Δι' Ἁλμυροῦ γὰρ ἐπεπείρανται ἄγειν
Πυρεκβόλων τρεῖς, κἀμβυθισθεῖναι λόγος
Ἐκ δυσβάτου πορείας εἰς ἕλους βένθος.
Στόλος δ' ἔτ' ἀντέφραττεν ἄλλην ἐκ πόντου,
Ὡς δυσμενῆας οἷς δέ πως ἐνδοιάζειν.
Ἀλλ' οὖν Κάπελλος, οἷά τις σφῶν συμπράκτωρ,
Πρὸς Κυκλάδας σύμπαντι χωρεῖ τῷ στόλῳ,
Διδοὺς ἄδειαν τοῖσδε, ἐκ μέρους πόντου
Πυρεκβόλους φέρειν τε, κωλύμης ἄνευ.
Καὶ φορταγωγῷ ἐμβιβασάντων τρεῖς που,
Ἐταιρίσαντο τρὶς τριήρεσι δέκα.
Ὡς εἴγε που Κάπελλος ὀκτώ που νῆας,
Λέλειπε κἂν ἔκτοσθεν εἰς οἰκουρίην,
Οὐκ ἂν σκοποῦ τέτυχον ἔργων δυσκόλων·
Φρουρᾶς δ' ἐωΐηθεν, ἡ πύλη τείνει,
Μέγαν πέπηγαν ἀντίον μαχεῶνα,
Καὶ ἐντόνως ἔπληττον ἄστεως ῥέθος.
Ἔρκους δὲ βαιᾶς ῥήξεως κατηργμένης,
Ἐνδείξεων ἄνευθεν ἔργων μειζόνων,
Εἵλοντο ῥήτρην ἀτὰρ ᾧδ' οἱ προστάται,
Καὶ προὐδίδοντο βαρβάροις λελυμένοι.
Εἰμὴ ἄρ' ἐκ νόσοιο, λοιμοῦ παμφάγου,
Τῶν ὁπλιτῶν τοὺς πλείω ἐξαρπασάσης.
Θυμὸς δέ γ' ἐκπέπληκτο ἐξῆς δυσμενῶν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐρυμνὸν ἄστυ τῶν ἀναγκαίων πάντως
Τροφῶν μάλιστα ἐκ προμηθείης πλῆρες,
Πῶς προὐδίδοντο μὴ ἔτι σπέρχοντός του,
Καὶ ὡς ἔθος σφῶν ἄμφερον πεπρωμένῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ Δ'.

Ἦν δ' αὖ λέων μοι οἷον ἄφροντις μόθου,
Εὔελπις ὢν μὲν ἀρετῆς τῆς τῶν παίδων,
Καὶ μᾶλλον εἴπερ ἦν συνημμένη σθένει,
Γαιήῳ τε καὶ θαλασσίῳ ἅμα.
Ἐπὰν δ' ἐπεῖδε πάντ' ἀνατετραμμένα,
Ἀρθεὶς ἐπὶ κνήμεσιν, ἐγκότως ἔχων,
Δουπῶν πτέρυγε νηρύτω διαστέλλει,
Δραξάμενός τε ταῖν χεροῖν ἀνὰ ξίφος,
Καὶ θεὶς πόδα σκαιόν τε μέχρ' Ἰλλυρίων,
Κακῶς ἐποίει τούσδε καὶ δίωκέ τε.
Προὔτατται γὰρ πρὸς ταῦτα Φώσκολον μέγαν,
Ἄριστον ὧν ἂν ἔσχε γεννάδων παῖδα.
Κάπελλον εἶτα τῆς στολαρχίης αἴρει,
Μετῆρε δὲ Γρύμανον οἱ ἀμοιβαῖον,
Τὸν ἀρχὰς ὠπάσαντα πάντας ἐκτρέψαι,
Δεινοῦ γόοιο ἐς κεδνὴν θυμηδίην·
Καὶ δεξιὰν ἐκτείνας εὐθείᾳ πρός με,
Βουλῇ πίφαυσκε τῇ Γερουσίης τάδε.
« Κρήτην μὲν ἡμῶν οἶδατ' εὖ μάλ', ὦ παῖδες,
» Ἐχυρὰν οὖσαν καὶ φύσει καὶ ἐντέχνως,
» Φύσει μὲν ὡς δύσβατον, ἠδ' ὀρεινήν τε,
» Τέχνῃ δὲ δῆλον, οἷον ὠχύρωταί μοι
» Κύδων, Ῥιθύμνη, καὶ πολισμάτων ἄλλα,
» Καὶ οἷά μοι ἦν μητρὸς εἵνεκεν φροντίς,
» Τοσοῦτον ἀχθείσης μοι εἰς εὐορκίην,
» Ὡς οἷαν εἶναι ἀντέχειν ὁρμῇ πάσῃ·
» Θῶμεν τύπου ἕκατι σύμπασαν νῆσον,
» Τειχιόεσσαν εὐρὺ εἰς πέδου πάλιν,
» Ἢ τάφρον ἀμπίσχοιτο βύθιον πόντον,
» Πελάγιος τοῦ ἀμφὶ ταῦθ' ὑπουργοῦντος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Εὖ οἶδατ' οὖν μοι παῖδες, ὡς οὐχ οἷόν τε,
» Πόλιν πεσεῖν πως χερσὶν ἐκπορθουμένων,
» Πρὶν κυρίους γενέσθαι ἀμφὶ τοῦ τάφρου.
» Χρὴ δ' Ἰμβραΐμον, εἶγε κύριος νήσου
» Πάσης θέλοιε, πρῶτα μὲν πελάγεος,
» Ἔπειτα τῆσδε, ἣν δέ μοι δς εἰκαῖος.
» Ἐμοὶ δοκῶ, ὦ ἄνδρες, ὡς κἂν τὰς παῖδας
» Ἔοικε χειρώσασθαι, ἔμπης μητέρα,
» Χειροῦν ἀπείργειν οἷον αὐτὸν τοιώσδε·
» Ἀλκῆς ἄνευθεν οὐκ ἐς ἐνυαλίου,
» Αὐτὸν γενέσθαι κύριον πρῶτον τάφρου,
» Ἔπειτα νήσου ἐγκαθίσταται πάσης·
» Καὶ ἔστι διττὰ κωλύοντ' ἐγνωσμένα·
» Ἢ γὰρ χρεὼν μὲν πωμάσαι Προποντίδα,
» Ὡς μηκέθ' οἷόν τε ἐκβαίνειν τῆς δε,
» Ἢ ναυλοχοῦντας ἀντέχειν τῷδ' ἐκβάντι.
» Ἐμοὶ ἔοικε, παῖδες, ἔκκριττον δοκοῦν,
» Δυοῖν τὸ πρωτον, οἷα τῶν ἀκινδύνων,
» Ὧν γὰρ κρατεῖν οἷόν τε συμπλοκῆς ἄνευ,
» Ἄσκεπτος ἡ ἔρευνα τοιαύτης πείρας,
» Ἥπερ συνημμένη μὲν ἀστάτῳ τύχῃ,
» Ἀμοιβαδόν τε ἀντιταλαντεύεται.
» Πᾶν εἴγ' ἐνεργοῦν ᾧ ἐνεργεῖ καὶ πάσχει »
Καὶ ταῦτ' ἔπειθε παῖδας ἐν Γερουσίᾳ,
Νῆας προπέμπειν φραγμὸν ἐς Προποντίδος.
Καὶ αἱρέτιζον ἄνδρα ταῖσδ' ἐπιστάτην,
Γενναῖον, ὧν ἂν ἴδμεν, ἠδ' εὔνουν πάτρῃ
Θωμᾶς δὲ οὗτος Μαυροκήνων οἰκίας,
Ὃς ἀμβολῆς ἄνευθεν ἐλθὼν οὗ δόγμα,
Ἔμφραττε κύκλῳ, ὡς πλοκαῖσιν ἀρκύων,
Καὶ ἀντέφραττεν ἀσφαλῶς κἀνενδότως,
Ὡς μὴ περᾶν οἷόν τε αὐτὴν ὁλκάδα·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μίμναζε δηρὸν, καὶ ἀπεῖργεν ἐντόνως
Ἔντοσθε πειραθέντα ὁρμῆσαι στόλον.
Χρόνος δ' ἐπεῖγεν ἀνδρὸς εὔκλειαν σκοτοῦν·
Κακῶς ἔπραττον γάρ κεν οἱ ἐπεμβάται,
Τερσαινοθέντες ὑδάτων ἀπουσίῃ·
Ἰλλυγγιᾷ δὲ Μαυροκῆνος τοιοῖσδε,
Καὶ διττὰ μερμέριζε πρακτέων ὕπερ·
Ἢ φραγμὸν ἐλλείποντα ἔνθ' ἀφιστᾶναι
Διζημένων ἄρηξιν ἀτλήτου δίψης,
Καὶ ὡς δοκεῖν τὸν ἄνδρα μὴ πειθαρχῆσαι,
Εἴτ' οὖν μένοντας κἀθανεῖν διψαλέους·
Τούθ' εἵνεκ' ἐξήγγελλεν ἐξ διζήμενος
Τριήρεας νήεσσιν ἀτμενευούσας,
Ὡς μὴ ἀναγκάζοιτο αἴρειν ταὐντεῦθεν.
Βουλὴ δ' ἀναίνεται τάδ' ἀλλ' οὐκ οἶδ' ὅπως,
Ἐπικρατούσης μήτιος θεηπόλου.
Ἔπαρχος ἦν γὰρ ὅσδε πεντηκοντόρων
Λαρήνσιος τοὔναντι, οἴκου Μαρκέλλων,
Τακτὸς προόπτης, ὡς ἔθος καλεῖν στόλου·
Στέλλειν ἔπειθε κἀποσείεται βουλήν,
Ἐπεκράτει δ' ἄτρεπτα δόξα πλειόνων.
Καὶ Μαυροκῆνος, οὐκ ἔθ' οἷος ἐντεῦθεν
Ἴσχειν θόρυβον καὶ ὄχλον διψαλέων.
Καὶ δὴ ἀφίστ' ἐς Ἴμβρον αἶψ' ἀνακάμψων·
Αὐτὰρ δέοντα καιρὸν ἐκκλέπτην στόλος
Διευθύνων ἐξήει οὐδόν τὴν πρός μ.ε.
Γρύμανος ἔμπης Κυκλάδας διαστείχων,
Ἰχνηλάτει τε καὶ δίωκε συντόνως,
Αὐτοὶ δὲ γ' εἰσβαίνουσιν ἐς Μιτυλήνην,
Κρύβδην δ' ἐκεῖθεν ζητέουσιν Εὔβοιαν,
Καὶ Κολχίδος πρὸς ἕρκος ἀσφαλῶς ἴσχον.
Ἐκτὸς δὲ Μαυροκῆνος ἵσταται πορθμοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦ πρὸς Γεραιστόν, ἀμφίπορθμος γὰρ νῆσος,
Καὶ ἔξοδον πώμαζε τοῦδ' ὑπηγμένως·
Οἱ δ' ἐξέναντι τοῦ πρὸς ἄκρον Κυναίου,
Ἀνέκθορον πείναντες ἱστία πρός με.
Ἐνῷ δ' ἀφίστα Μαυροκῆνος Εὐρίπου,
Ἐντυγχάνει ἐν νησὶ πρὸς Κέῳ νῆσον,
Καὶ ἠὐτρέπιστο ναυμαχήσων οἷά περ.
Ἦσαν δὲ νῆες πειρατῶν Μαυρουσίων,
Ἐν αἷς ὀχεῖτο κοιρανεύων Ἀλγίρης,
Ξὺν φατρείᾳ τε καμφιμήτορι κάσει,
Ὃς Μεχμέτης κέκλητο ἐκ Κελητίνων·
Οἱ δὲ ἔμφοβοι συμφῦντες ὁρμῆς ναυάρχου,
Λυγρῶς ὄρωρον νήεσ' αὐταῖς ἐς Κέων,
Σκεδαννυθέντες οὗ ἂν ὅστις ἴσχει.
Καὶ Μαυροκῆνος ἐκποδὼν ἰχνηλάτει,
Ἑλὼν δὲ νῆας καταδιώκει φυγάδας,
Στόλῳ προπέμψας οὐ παύρους ἐλατῆρας.
Καὶ κοίρανος μὲν σώζεται ἐς Καρθαίαν,
Τειχισμένην μένουσαν ἔκπαλαι πόλιν·
Χειροῦται ἔμπης Μεχμέτην καὶ φατρίαν,
Ὄντα πλαδαρὸν, καὶ θέειν μὴ οἷόν τε·
Μεθίστα δ' ἔνθεν Μαυροκῆνος νικάτωρ,
Καραδοκεῖ δ' ἔτ' ἀντιπάλων ἀτραπούς,
Ποῖ ἂν τρέποιντο, ὡς ἀνατρέψων πάντῃ.
Βοιωτίαν δ' ἄνεισι προσμένων στόλον
Αὖ ἐκμολοῦντ' Εὐβοίης, ἦν γὰρ ναστήσας·
Ὑλιζε δὲ Κρισσαῖον ἐς κόλπον νῆας,
Ῥάπτην ὃν οἶδον νεῖαται νῦν κικλήσκειν.
Αὐτὸς δ' ἔμεμνεν ἐν Κέῳ τε καλένῃ,
Ἣν Μακρόνησον ἦθος ὄχλων κλητεύειν.
Μέμειν' ἐν εὐδείᾳ δὲ χ' ἁλὸς γαλήνῃ,
Κῴπτάνεται ἔωθεν ἐκ τριήρεων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πλείστας θεούσας εὐθὺ ἧς στρατηγίδος·
Ἤλποντο δ' εὐχείρωτον, ὡς μόνην οὖσαν,
Λοιπῶν μενουσῶν κόλπον ἐς τὸν Κρισσαῖον,
Ἀρχῷ τ' ἀκοντὶ μὴ σθενουσῶν ἀμύνειν.
Καὶ οὐ διεσφάλλοιντ' ἂν αὐτοὶ ἐλπίδος,
Ἦν Μαυροκῆνος μὴ ἐδείκνυτ' ἂν πάλιν,
Ὁ ξύμφορος πάτρῃ τε καὶ πολιτείᾳ.
Αἱ γοῦν τριήρεις ἀμφὶ νῆα πλακεῖσαι,
Ἐξηριθμοῦντο πεντάκις δέκ' οὐχ ἧττον,
Αἵπερ πιτνοῦσαι παῖον ἐν πυρεκβόλοις,
Κακῶς δ' ἐποίουν καὶ ὑπείκειν προὐκάλουν,
Πρὶν ἂν ὄλεθρον ἐκ ξίφους ὑποστῶσι.
Θωμᾶς ἀτάρ τοι προσπαλαίων γενναίως,
Ἀμείβεται ἄριστα μείζοσ' ἐν μέτροις,
Καὶ πλείστας ἀντέκρουσεν ἡμιπυρκαύστους·
Θρασεῖς ἐπεισπηδῶσι δὶς καὶ τετράκις,
Δειλοὶ κατεβλήθησαν ἡμισευθέντες·
Ὃς γὰρ ξιφήρης νηὸς ἑστὼς ἐν μέσῳ,
Μειλιχίοις ἔπεσσι θάῤῥυν' ὁπλίτας,
Ὡς κρεῖττον αὖτανδρόν τε ὠλέσθαι νῆα,
Ἢ πῶς γενέσθαι δυσμενέσσι λῃΐην·
Τέως πεπληγὼς ἐς μέτωπον κηραίνει,
Ἀκήρατος δὲ θυμὸς ἵπτατ' ἐς πόλον·
Τὰ λοίσθι' ἔπνει, καὶ ἑταίροις θαρσύνει,
Ἵν' εὐθυμῶσι, μήτ' ἐᾷν ἐχθροῖς νῆα,
Θανεῖν δὲ μᾶλλον τῇδε συμπυρουμένοις.
Βινκέντιος γοῦν, πτόρθος οἴκου Κανάλων,
Ἐπιστάτιος, οἷα μὲν τῶν γνησίων,
Λαβὼν δίδαγμα Μαυροκηνίου θάρσους,
Πευστοῦ μαθητοῦ δεικνύει ἀριστείας·
Ἐπιστάτην γὰρ πρὸς πόδας νέκυν δέρκων,
Οὐ δειματοῦτο, ἀλλὰ πέπλῳ καλύπτων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄριστα νηὸς ἀντέλαβεν ἀμύνης,
Τέκμαρ τι δυσμενέσσι μὴ δοὺς κτανθέντος·
Τούθ' εἵνεκ' ἀμύνη τε ἥδ' αὐτὴ πάντῃ,
Τὸ στερρὸν οὖν θάρσος τε τοῖνδ' ἀσπιζόντοιν·
Ἀλλ' ἥ τε ἐμφάνεια πεντηκοντόρου,
Ἐφ' ἧ ὠχεῖτο Γρύμανος πτολαρχεύων,
Πρὸς νῆα ἣν κάμνουσαν, ἵφ' ἑρετμούσης,
Οὕτω δέδιττον ἂς τριήρεις αὐχούσας,
Ὡς ἀντὶ εὔχους, φεῦγον ἠμισευθεῖσαι.
Τοιῶσδ' ἔργα νηῶν κατωρθοῦντο,
Ὡς δειματοῦσθαι δυσμενῆας τοὐντεῦθεν,
Πάνυ τε εὐλαβεῖσθαι, ἢ ξυμβῇ τάδε.
Ὡς ἐκ μέρους γαίης τε ἥδ' αὐτὴ σκέψις.
Γίλδασος εἴπερ, ὢν στρατάρχης τῶν τῇδε,
Βουλεύεταί τι καινὸν, ἐγκοπῆς χάριν,
Ὡς μὴ ἀπεχθεῖς ἠνίοις χαλωμένοις,
Τὴν πρός με ἀνύσωσιν εἰς ἔνεδράν μοι.
Συσκέπτεται δὲ Δελφὶν ἀνθύπατός μοι,
Κᾆν Ἀμάρᾳ ἥγημα οὐ κατὰ γνώμην,
Ὡσεὶ ἀφανδάνοντι ἔργοις Γιλδάσσου.
Ἀλλ' ὃς τριήρεις ἐκλέγων τρεῖς κρειττόνων,
Τείνας διέπλει εὐθὺ Παντοματρίου,
Μεθ' ἁρπαγὴν ὃν συσχεθὲν Ῥιθυμνίων.
Ἥκων δ' ἔωθεν, οὐκ ἀναστατεῖ πάμπαν,
Ἀρχῆθεν ὃν πόλισμα ἐκ τειχισμάτων.
Πύλην δ' ἀνῆρε, κἀλεηλάτει ἅπαν,
Ἐς ἀΐδην προπέμψας ἑρκιτῶν πλείστους·
Νοστεῖ δὲ λεῖα καὶ δορυκτήτους ἄγων.
Καὶ ἠγάμην κάλλιστα ἀνδρὸς ῥᾳστώνην.
Ἀλλ' οὐ σχέθ' αὐτὸν ταῦτα μὴ χωρεῖν πρόσω,
Καὶ μὴ ἀέζειν γῆς μέτρον περαιτέρω.
Ἐς Τήμενον γὰρ συγκαθίσταντο πλεῖστοι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς ἂν πέλας γένοιντο ἡρέμ' ἀμφί μοι.
Πόλισμα τοὐτὶ, ἀρχῇ ὡς κεκλημένον,
Ἐκ Τημένου του ῥηθὲν ἀρχαίου τάχα,
Ὃν φθίμενον κτέρεισαν Ἀργεῖοι σφίσι,
Δι' εὐσέβειαν, ἀρετῆς ἀνδρὸς χάριν,
Χ' ὠμώνυμον κέκληκαν ἡμῶν τ' ἀρχαῖοι,
Μνείας ἕκητι τῆς πρὸς ἥρωα αἰδοῦς.
Διΐσταταί μοι δ' ὡς ἑκατὸν σταδίοις,
Οὗ δυσμενεῖς ἵδρυντο παυσωλὴν πρώτην.
Γίλδασσος οὖν τούντεῦθεν αἴρων σὺν στρατῷ,
Ἐφίστα νωκτὸς, καὶ ἐδήου Τήμενον,
Ἀμφ' ἡμίσεις δὲ τῶνδε αἰχμαλωτήσας,
Λοιποὺς κύνεσσιν λεῖπεν ἥδιμον βρῶμα,
Φέρει δὲ κόρσας, ἧς ἀριστείης δεῖγμα,
Ὡσεὶ ἑκατὸν, ἀνδρικῶς μαρναμένου,
Ὄχλος δ' ὑπαντῶν σακχαρέοις σφαιρίσκοις,
Στορέννυον τῷδ' ἀγορὰν διαβάντι.
Κρότος τε χειρῶν συμπαρέκτεινε φθόγγοις.
Καὶ ταῦτ' ἔτικτεν Ἀμάρᾳ βασκανίην·
Ἦν δ' ἐκ Νεαπόλιος Ἰταλῶν οὗτος,
Γένους φαεινοῦ καὶ ἀριζήλου πάνυ,
Τῆς φατρίας τε εἷς Μελιτῶν πρωτίστων,
Σύγκλητος ὢν τίεσκεν εἰς στραταρχίην,
Ἀλλ' ὅς γε φύτλης, ἀξίης τε ἀμνήμων,
Ὅσων ὀφλημάτων τε πρὸς πολιτείην,
Μισθουμένην πλείστου τε εἰς κράτους ἄλκαρ,
Ζητεῖ ὅπως Γίλδασος ἐκ ποδῶν γένῃ,
Κἀγὼ ὑπαχθείοιμι ὠμοῖς Ὀτμάνοις·
Ἔστυγε γὰρ Γίλδασον εὖ πομπεύοντα
Ἔστυγεν ἐνδήμους τε οἱ φιλοστόργους.
Τάδ' ἔργα διττὰ δυσμενεῖς ἐκβακχεύει,
Ἀρχάς τε ταῦτ' ὤοντο μειζόνων ἔργων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ μακρὰν ἐς Χάρακα κώμην νοστοῦσιν,
Ὑπὲρ πέδον τεθεῖσαν εὐθὺ Γορτύνης·
Κέκλητο δ' ὅς γε ὡς νέοις εὑηρέστει,
Ἀπὸ σκόπης ἴσως ἂν ἦ ἐπέκτιστο,
Τοῖς νῦν χάρακα λᾶν μεγίστην κλημένην.
Βουλὴν δ' ἐγείρει Δελφὶν ἀνθύπατός μοι,
Ὅπως διωθήσωσιν αὐτοὺς κἀντεῦθεν,
Καὶ συμφράσαντο ἱππικῶν καὶ πρυλέων,
Τὸ πᾶν συνεῖναι δυσμενεῖς ὑπερπαῖαν.
Ἱππεῖς δὲ προῦχον τῶν ἑκατὸν ὀκτάκις,
Καὶ τάξις ἄπλετός τε πεζῶν εὐζώνων,
Βαίνουσ' ἀριθμὸν μυριάδος διπτύχου,
Ἐν οἷσι κἄν τε προῦχε κωμητῶν πλῆθος,
Πτόρθοι δὲ Εὐρώπης τε, κἀμῶν Κουρήτων,
Εὖ ὡράϊζον λειμάδα στρατευμάτων·
Κἀπιτρέπουσιν οἰάκησιν Γιλδάσῳ,
Ὡς εὐδοκιμήσαντι ἀρχῆθεν μόθου.
Προσίεται δὲ τοῦργον αὐτός τ' Ἀμάρας,
Καὶ δεινὰ μερμέριζεν ἐνδομυχέων.
Ἐπὰν γὰρ ἐῤῥύησαν ἥματ' ὀκτώ που,
Πείθει ὑπούλως ἀνθύπατον Δελφῖνα,
Ἐᾷν μετελθεῖν ἄστυ ἐς Πεδιάδος·
Ἦν γάρ κεν ἄγχι Καρφύρης ἀναρσίων·
Ὅ τ' ὠχύρου Γίλδασος, ὡς μάλα σπεύδων
Εἰς ὧσιν εἰσβολῆς τε τῆς περαιτέρω·
Ἦν δυσμενεῖς ἂν ἐκνικήσειεν πάλην,
Ἧς αὐτὸς ἠκριβοῦτο ῥᾴστα κρατῆσαι·
Ἀνθύπατος δὲ εἶα κἀκδιδοῖ παῖδα,
Διώνυμον προσφῦντα νείατον πάντων,
Θωπευτικοῖς ἔπεσσι πεισθεὶς Ἀμάρᾳ.
Εὐπατριδῶν δ' εἵποντο οἱ πρόφαντοί μοι.
Καὶ ἱκάνων δή, πρῶτος ὢν στραταρχίης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπῆγέ μιν Γίλδασον ἀσφαλισμάτων,
Ὤκιστα δ' αὖ ἤνωγεν ἄρξασθαι μάχης,
Καὶ μὴ τίθεσθαι ἀμβολὴν οἷς πρακτέοις.
Γίλδασος ἄλλως, κἀν ἔπειθεν ἀντίον,
Ὡς πρῶτον ἀμπαύοντας ἐκμεμηκότα,
Σφῶν γεῖα ἐνδύεσθαι ἀσμένως μάχην,
Αὐτὸς δ' ἔφιππος πάντας ἕπεσθαι θέλει,
Πάντας θ' ἑτοίμους, κἂν ἅπαστοι ἀλκάζειν.
Ἔταττεν οὖν Γίλδασον ἐν πεζῇ τάξει,
Ἡγεῖτο δ' ὅς γε ἱππικῆς εὐταξίης,
Καὶ πρὸς ῥόον Ληθαίου ἄρχεται μάχης.
Συμβάντα δ' ὅσσα ἔργα μηχανημάτων,
Λέγειν δέδεια μὴ πάλιν θρηνῳδήσω.
Ἀλλ' εἰ φιλοπράγμων σύ, ἐλθὲ κἀνάγνω,
Γίλδασος ὡς ἤρξατο μολεῖν γενναίως,
Καὶ ὡς ἐμοὶ Κουρῆτες ἄμφεπον πέριξ
Μυρμηδόνες καθάπερ ἀμφ' Ἀχιλλῆα,
Καὶ ὡς συνεπλάκησαν ἐς πεζῶν τάξιν,
Σκηπτός τις ὥσπερ, ἐμπεσόντες ταῖς ἴλαις,
Καὶ ὡς Ἀμάρας ἱππικὸν τὸ πᾶν ἄγων
Ἐς δυσμενῶν ἔσκηπτε δεξιὸν κέρας,
Ἐκ Καρφύρης σφῶν ἱππικοῦ ὁρμημένου,
Ἐς μηνοειδοῦς σχῆμα τῆς σεληναίας,
Χ' ὡς εἰς φυγὴν τρέποντο, ᾧδ' ἡττηθέντες,
Οἴκτειρμα χ' ὡς δίζοντο μὴ ὠμῶς θνήσκειν,
Χ' ὡς αὐτὸς οὐ δίωκεν ἄνυσιν νίκης,
Καὶ ὡς τραπεὶς ἔπλαττε κἀρ σκαιὸν κέρας,
Αὐτὸς δ' ἔτεινεν εὐθὺ τῆς πρός με τρίβου,
Γίλδασον ὡς εἴα τε μάρνασθαι μόνον,
Ἄνευ ἀγωγῆς ἱππικοῦ σθένους πάμπαν,
Καὶ λοιπὰ ὡς Κουρῆτες ἐξώλοντ' ἄρδην,
Ἀναδραμόντων τῶνδε ἀμπαλινόρων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀναθρασυνθέντων δὲ δυσμενῶν μάλα,
Ἀγνώμονος δι' αἰσχρὰν Ἀμάρα φύξιν,
Παῖς δ' ἀνθυπάτου οὐκ ἀναιρεῖται ἄλλοις,
Ἁλίσκεται δὲ ἐν πέδαις καθειργμένος.
Ἓν τουτὶ μ.' οὐ λέληθεν ἄξιον γέλω·
Τὰ νῶτα δοὺς, ἱππικὴν ἄγων τάξιν,
Πέφευγεν ὡς αἴσχιστα, εἶτα ηὐχᾶτο,
Ὡς ἱππικὸν κάλλιστα εἴρυται λώβης·
Ἦν γὰρ μέμεινα ἦν δέος μὲ ὠλέσθαι.
Ἑὸν δὲ δρασμὸν οὐκ ἐπίσταται φῦντα,
Λώβην ἅπασιν, ἱππικοῖς τε πεζοῖς τε,
Δι' ἱππικῆς γὰρ πεζοὶ ὤφθησαν φραῦδοι·
Ἐνεργμένη δ' ᾧδ' ἐκλιμώττουσ' ἐφθάρη.
Γίλδασος ἦν γὰρ ὠχύρου Πεδιάδα,
Λεοί τ' ἂν εἰρύοντο προσπεφευγότες,
Τροφαί τ' ἐρανίζοντο εἰς ἵππων ἔδαρ.
Ἀλλ' Ἀμάρᾳ εὔαδεν ὄλλυσθαι πάντα,
Σὺν τοῖσδ', ὅπως Γίλδασος ἐκ ποδῶν γένῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ Ε'.

Ἐνῷ δὲ συγκυκᾶτο τοιάδ' ἐνθένδεν,
Ἵκουστο βόμβος πρὸς γένη Ἰλλυρίων,
Ὡς ἐκπλαγεῖσθαι ὄττοβον κεκλυκότας·
Ἀρθεῖσα δὲ κνήμεσσιν, οὐκέτ' ὄσσομαι
Ἐν Κλιτίῃ τι σχῆμα τῶν κερατοειδῶν
Κυρτῆς σελήνης, ἀλλὰ φαίδιμον σταυρόν·
Κἀγγέλλεται λέοντα τείναντα σκαιὰν
Ἀνθαρσύνειν εὔθυμα Φωσκόλου τόλμαν.
Καὶ μὴν μετ' ἐκπόρθησιν αὐτῆς Κλιτίης,
Χώραν τ' ἐδήου καὶ δίωκ' ἀναρσίους.
Ἵκων δ' ἔτ' ἐς Ῥίζανον, αἴρει καὶ τόδε,
Κἀδυσπράγει γένθεν Ὀτμάνων γαῦρον,
Ὡς καὶ τὰ νηΐων τε μοχθηρᾷ τύχῃ·
Καὶ γὰρ κατ' ἴχνος κατδιώκων σφῶν στόλον,
Ἐκώλυε Γρύμανος, ἄπλετον φῦντα,
Κύδωνα μὴ ἐμβῆναι εἰσφέροντ' ἄλκαρ·
Ἐς Ναυπλίαν δὲ τόνδ' ἐγκαθειργνύει,
Ἐν ἑπτὰ μησὶν εὐλαβούμενον τοὐκτός.
Φήμη δὲ ὑπερποτᾶτο ἀμφὶ Κυκλάδας,
Πρὸς Χίον ὅσσας φορτικὰς ναῦς εἰσπλεῦσαι,
Πληθὺν φερούσας ἐς στόλον νεηλύδων.
Ἀλλ' οὐ λέληθε Γρυμάνου σπουδὴν θρῦλλος·
Ἀφεὶς δ' ὃς κάθειρξιν ἐξήκει ἔνθα,
Καὶ ἱκάνων ὤκιστα αἴρεται νῆας,
Ἐχθρῶν ἀκόντων καὶ κατ' ὄψιν φρουρίου,
Ὅπερ Κεσουμὴν οἵδε κάρβανος γῆρυς·
Ἄγων δὲ νῆας Ναυπλίῃ νοστεῖ πάλιν·
Ἀτὰρ τριήρεις ὡς ἑκατὸν ἐνθένδεν,
Πέφευγον ἐς Κύδωνα συμπεφυρμένοι,
Ἄλκαρ τι οὐ φέροντες ἐκ νεηλύδων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σκεδαννυθέντων νήσῳ, ἧς Πέλοψ ἦρχε.
Ἀλλ' εἰ στόλον μὲν μηκέτ' ἦν καθειργνύων,
Ἀτὰρ σκοπὸν κέρδαινε, μὴ ἐᾷν ἄλκαρ,
Καὶ νοστέειν ἄπρακτον ἐς Βυζαντίδα.
Οὕτω τὰ ἀλὸς ἐξέβαινεν αἰσίως,
Ὥσπερ τὰ γαίης τοὔμπαλιν κακορράφως.
Ἐπὰν Ἀμάρας γάρ κεν ἐσφάλη σκοποῦ,
Ἔπειθεν ἀνθύπατον, ὡς ἀπαλλάξῃ
Γίλδασον ὡς περιττὸν ἐς στραταρχίην·
Ἐνδέξιος γὰρ ἦε ἐς παραινέσεις,
Ὡς αἴοντας ξυνδοκεῖν γοητεύειν.
Γίλδασος οὖν μετῆλθεν, ὡς δοκοῦν προὔχει,
Ἀλλὰ στρατηγὸς αὖ πάλιν δέκτο στόλος.
Γρίμανος εἴπερ ἀμφ' ἑαυτῷ λαμβάνει,
Καὶ ἄνδρα μὲν τίεσκεν ὡς κατ' ἀξίαν·
Θωμᾷ δ' ἀειμνήστοιο γνήσιος κάσις,
Βέρνανδος, ἀλλ' ἄντανδρος εἰς ναυαρχίην,
Ἐλιπάρει στόλαρχον, ἱκτὴρ ἐμπράκτως,
Ἐᾷν ἄγειν τὸν ἄνδρα ἐς Προποντίδα,
Εἰς δευτέραν τήρησιν, ἀσφαλεστέραν,
Χαρίζεται δ' ᾧ εἴ τι τ' ἄλλ' ἀναγκαῖον·
Καὶ νηΐταις πρόνοια ἔστειχ' ἀκριβῶς.
Τοῖς ὧδε μέντοι ἦν ἀπόγνοια τροφός.
Ἀνατραπείσης γάρ κε Χάρακος πάλης,
Τοῖς δ' οὔτις ἐλπὶς εὐθύνουσά μ' εἰσέτι·
Ἐμὴν δ' ἐς ἐξόρθωσιν ἠπίστουν ὅλως,
Καὶ νωθριῶσι μὴ προασπίσασθαί μου·
Κἀνάρσιοι τοὐντεῦθεν εὐτονικότες,
Κατέστρεφον τὰς ἀμφὶ κώμας δηοῦντες,
Λεούς τ' ἀνήρουν κἄν ὑπήντων οὐδαῖοι.
Μὴν δ' οὐ παρέρρει, καὶ ὁμαρτοῦσ' ἀθρόοι
Ἐμοῦ κατ' ὄψιν φρικτά μοι ἀπειλοῦντες,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κύκλῳ παρεδριῶσι, κοὐδεὶς ἀνταίρει,
Ἀφικνέουσιν ἄγχι, καὶ οὐδεὶς εἴργει·
Ἀλλ' εἴργον αὐτοὶ κωλύοντες εἰσόδους,
Ὡς μὴ δύνασθαι μήτε αὐτὰ πτηνά τε,
Κἂν πρὸς θαλάσσης μὴ ἀπείργειν οἷόν τε·
Ἐκ χερρονήσου γάρ κε τῆς ἔωθέν μοι,
Ἣν Ἑστίαν προσεῖπον οἱ νεωτέρων,
Ἐμοῦ τε Πανόρμοιο συχναὶ ὁλκάδες
Αἱ προσορμίζουσαί μοι εἴ τι χρειῶδες.
Κἂν οἵδε ᾠήθησαν ἐγκρατεῖς ἅμα
Παντὸς γενέσθαι, καὶ ἀπείργειν φορβήν μοι.
Καὶ ἐκταθεισῶν ἔνθεν ἧδ' ἔνθεν σκηνῶν,
Ἄστροις Ὀλύμπου ἰσαριθμεῖσθαι οἷων,
Τάξιν τινὰ προὔπεμπον ἄλλα δηῶσαι.
Πρώτιστα δ' ἱκάνουσιν εἰς αἰπὺν χῶρον
Λάσιθι ἐκ πολλοῦ μὲν ὡς κεκλημένον,
Ὡς εἴγε λᾶς ἔφασκεν ἴθι ἐς θέαν.
Ἀμβάντι γάρ κεν ὑψίβατα οὐρέων,
Πρὸ τῆς ὑπωρείης τε οὔρεσι Δίκτης,
Ἣ πρὸς βορὴν ὕπερθεν ἐγκαθίδρυται,
Ἔξεστιν ἰδεῖν ἀξιοπρεπὲς πέδον,
Ἐὸν ταμεῖον κἀποθήκη σιτηρά,
Φύσει δ' ὀχυροῦται, ὑπερκαλλὲς πέλον·
Μόνας γὰρ ἴσχει τρεῖς ὁδοὺς στενωπούς τε,
Τὰς εἰσόδους φερούσας αἰπὺ ἐς πέδον·
Χῶρον δ' ἐπιτρέπουσι Δελφὶν βουλή τε
Δραστηρίῳ μὲν ἀνδρὶ, οἴκου Λευκάρων,
Ὦ Νικόλαος οὔνομ' ἐν κασιγνήτοις.
Τόνδ' ἐκραταίουν φρατρία Ἰλλυρίων,
Οἵους τε οὓς ἄριστα εἰρύειν χῶρον,
Ἑκασταχοῦ παύροισιν εἰς ἐχθρῶν ὧσιν,
Ἢ κἂν ἔλασιν δηθύνειν περαιτέρω.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αὐτὸς δ' ἀπαίρει εὐλαβούμενος τῆδε,
Λώβην προσοῦσαν ἢ δαεὶς τὰ Ἀμάρα,
Ἀνάκτορόν τε πυρπολήσας οἰκίαν,
Ταμεῖον αὐτὸ κἄφθονόν τε σιτῶνα,
Ἐς φρουρὰν ἐκπέφευγε μικροῦ Πανόρμου,
Οὐκ ἄξιον προσθείς τι ἢ ἀριστείῃ.
Αὐτοὶ δὲ γ' ἀμβαίνουσιν αἰπυὸν χῶρον,
Δίχ' ἀντιτάξιός τε κἀμαχητί τε·
Κάτβαινον αὖ τε οὐδὸν ἀντολῆς μοίρας,
Νάπας Καρῶν ἔλξαντες ἐς πειθὼ σφίσι.
Ζητοῦσι δ' αἶψα Ἡρακλήϊον τοὐμόν,
Ὅτ' οὐ βαρεῖ ἀγῶνι αὐτοῖς προσχωρεῖ,
Ὡς μὴ ὀχυρὸν σφόδρα κἀσπιστῶν ἄνευ.
Κἀντεῦθεν ἐμβαίνοντες Ἱεραπύτνης
Ἐλαιόκοσμον καὶ χλοηφόρον πέδον,
Ἐπυρπόλουν κἀλεκλάτουν ὠμῶς τε,
Νείκους ἄνευθε κἀμαχεὶ διαδράντες,
Σφαγῶν δ' ἀρειαῖς φρουρὰν ἐξεδειμάτουν,
Κἂν πρῶτα παρήτιζον ἐν μειλιχίοις.
Ἀλλ' εὗρον ἀντίστασιν, οἵαν οὐκ ἄλλῃ,
Τῶν τῆδ' ἄριστα ὁπλιτῶν ἀσπιζόντων.
Τέως δὲ πλήθους ἐκπλαγέντες ἀθρόου,
Παρήνεον Φραγκίσκον, οἴκου Μουδάκων,
Ἐπεὶ ἄριστος τακτὸς ἔνθα προστάτης,
Προσχωρέειν τάχιστα συμπεπαικόσιν,
Ἢ δέσμιον σταλεῖναι εὐμειλιχθεῖσιν,
Αὐτὸς δ' ἔπεσσιν ἠντίαζεν εὐφήμοις,
Μηδὲν πτοεῖσθαι, ἐμμένειν δ' ἄλκαρ θᾶττον.
Οἱ δ' αὖ ἠνόχλουν ἐξ ἀρειῶν σπερχμένοι,
Καὐτῷ πίφαυσκον ὡς χρεὼν πειθαρχέειν,
Καιρὸς γὰρ οὐδεὶς πλαστικῶν θωπευμάτων·
Αὐτὸς δὲ λάθρα νυκτὸς ἐκδιδράσκει,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κἀπαυδάοντα αἰτιᾶται Ἀμάραν,
Ὦ μὴ μέμηλε τῆσδ' ἄλκαρ ἀμύνης,
Κἂν πλειστάκις γράμμασιν ἥτει ἐμπράκτως.
Κἀγώ τε ᾧ σύμφημι Ἀμάρα τοὔργον,
Τὰ πάντ' ἄελπτα καφανῆ κεκρικότος·
Ἔπειθε γὰρ ὕπατον ἄλκαρ μὴ πέμπειν,
Καὶ μηνύειν μάλιστα δεῖν πυρεκβόλον
Θραύειν μέγιστον, καὶ ἀμύνειν σμικροῖσι·
Ἐπεὶ δὲ ταῦτα οὐκ ἐνῆν διορθοῦσθαι,
Αὐτὸς διέδρα, πληθὺς ἐχθρῶν δ' εἰσβαίνει,
Κἀντεῦθεν εἰσβάλλουσι χερρόνησόν δε,
Ἣν Ἑστίαν ἔφημεν ὄχλον κικλήσκειν.
Δηοῦντες, ὡς εἴθιστο, χώραν καὶ κώμας,
Μέχρι προαστείου ἥλαυνον σύδην·
Βαταΐας δέ, ὢν προόπτης τῶν τῇδε,
Ἐκώλυε κράτιστα καὶ κακῶς ἔδρα,
Καὶ πλεῖστα πειράσαντας ὠθεῖται λάβρως·
Τετληότες δὲ δηρὸν οἴχονθ' ἑνθένδεν.
Καὶ φασὶ λῖτα τὸν Βαταΐαν δέχθαι,
Ὅνπερ στρατάρχης ᾧ πέπομψε θυμήρης,
Οἷα προασπίσαντι ἄστυ γενναίως.
Καὶ τόνδ' ἀπαντήσαντα ἀκριβῶς ἴσχειν,
Καὶ τηρέειν ἄψαυστον ἠγγύα τῷδε,
Ἐς δευτέραν ἔλασιν, ἢν ἐλθεῖν θέλῃ,
Αὐτῷ ἀποσμᾷν τραυματισθέντι κάρκαρ.
Καὶ ταῦτ' ἐπεπράγησαν αἶψα χειμῶνος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ Ϛ'.

Μήδησε δ' ἦαρ καὶ μολεῖ μοι Γρύμανος,
Ἐκ Κυκλάδων αἷς τῆνες ἦν ἐκχειμάσας·
Καὶ σκέπτεται εἰσαῦθις ἔργ' ἀριστείης,
Ὡς ἂν ἐνοχλήσει δυσμενῶν θράσος.
Καὶ πλεύσας ἐς Πάνορμον, ἔνθα ὁρμᾶτο,
Ἵν' Ἡράκλειον ἄστυ ἦ ἐκπορθήσων,
Τριήρεων δ' ἐκπομπὴ ἐξ θωωτέρων,
Ἡγουμέναιν δυοῖν τε πεντηκοντόραιν,
Γίλδασσον αἷς ἐφίστα ἐξαρκεῖ σθένει·
Ὃς Γρυμάνου ἔνταλμα ἤνυε σπεύσας.
Ἀϊστόει γὰρ ἄστυ ἐκ βάθρων ἄρδην,
Καὶ νοστέει λάφυρα θηράγρας φέρων.
Δελφὶν δὲ προσκέκλητο νόστιμος πάτρη,
Ὡς βαιὸν ἀμπαύσειε νοῦν κεκμηκότα.
Καὶ Ἀλόϋσσος ἀντιπέμπεται ταῦδε,
Ἐκ Μωκενίκων οἰκίας ἀριζήλου·
Ἦν γὰρ στολάρχῳ δευτερεύων ἐν τάξει,
Ἦν ἀξίην προόπτου ἄδε κικλήσκειν,
Ὅθεν γενικὸν προστίθεισ' ἐπικλήσει.
Πῶς δ' οἴσομαι νῦν αὖθις ἀμπεμπασθεῖσα
Ξυμβὰν δυσόρμῳ, ναυτιλοφθόρῳ νήσῳ
Ἀρχαιότης ἣν ὠνόμαζε τὰ Ψύρα,
Ἐφθαρμένως δὲ Ψαρὰ νῦν κεκλημένα;
Ἄνεισι γὰρ στόλαρχος αὖ ἐς Κυκλάδας,
Ὡς ἀσφαλὲς σχῇ χρῆμα νηΐτων ἔργων·
Βὰς γοῦν διάπλουν τὸν Χίου ἀμφιῤῥύτου,
Ἐννυκτερεῦσαι εἵλετ' ἐς Ψύρων ὅρμον·
Ὅποι κλύδων λαίλαψ τε ἔγρεται μέγας,
Καὶ πάννυχα κράδαινε ῥαγδαίως στόλον,
Μακρὰς τριήρεις συγκεκρουκὼς συνθραύστους,

Οἷα κροαίνων ἀλλεπαλλήλας μίγδην·
Νηῶν δ' ἐπεισπεσοῦσα τῶν κοίλων μία,
Ἐπ' ἰσόχρυσον τὴν στρατηγίδ' ὡς λαύρως,
Μυχοῖς ὑπεστόρνυεν αὔτανδρον πάντῃ,
Καὶ Πολύφημον δειματώδη ναυμάχοις,
Κτέρειζε μηνιάσας ἔμφλοισβος πόντος.
Ὁ συνδιαιτήσας τε ἀρχοῖς πρωτίστοις,
Βορὰ γέγαεν ἰχθύεσσι κητώοις,
Ἔνδειγμα καὶ τόδ' ἀμφιπταμένης τύχης.
Ἀλλ' ἦ Ποσειδάωνος ἦν σκευωρίη,
Τῷ ἀνδρὶ βασκαίνοντος ἀνδραγαθίην,
Ἢ καὶ τύχης ἄθυρμα τάξεσι βροτῶν,
Ἀνατρεπούσης ἄττα πεπράχει πρῶτον,
Ἀρχῆς πανάρχου καὶ τόδ' ἐξ ἀπακρύρων.
Τριήρεων γοῦν ἤριπον πρὸς ἓξ δέκα,
Παύρων μὲν ἔνθεν κωπέων λωβηθέντων,
Κοίλων δὲ νηῶν τέσσαρες καὶ οὐ πλείω,
Μόνον ἀσινῶν πάγχυ πεντηκοντόρων.
Καὶ Μαυροκῆνος, ὧν προόπτης νῦν στόλου,
Πρώην ἔπαρχος τῆς ἐμῆς οἰκουρίης,
Ἐς τοὐτὶ ἀρθεὶς ἐξ ἀμοιβῆς ὧν ἔτλη,
Μόθου ἀπ' ἀρχῆς, καὶ Κύδωνός τ' ἀμύνης,
Ἀολλέει σποράδας ἀνὰ τὴν νῆσον,
Πίμπρησι δ' ἄρδην τὰς τριήρεις ἀπλώτους,
Ἄγει δὲ λοιπὰς πρός με αὐτοῖς κωπεῦσι,
Καὶ τεῦκτο ἰσάριθμος αὖ πάλιν στόλος·
Ὡς αὐτοὶ αὐτόπται τε τῶν τελεσθέντων.
Ὡρακιᾷν οὐκοῦν γε, εὔτολμοι παῖδες,
Ὑμᾶς ἕκατι τῶνδε μέμφομαι οὕτως·
Οὐ τόσον ὡς στόλαρχος ὤλετ' ἠλίκος·
Ἐθὰς πολιτείῃ γὰρ ἐκφέρειν ἴσους,
Ὑπὲρ πάτρης δεικνύντας ἔργ' ἀριστείης·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ὅσσον ἱλάρωσε δυσμενῶν φῦλα,
Ἐμοῦ ἔναντι τοῦ παράξαντος μόρος.
Ἐπὰν γὰρ ᾐσθάνοντο καινὰ συμβάντα,
Ἐδιονυσίαζον ἥματα τρία,
Ἐμοί τε προσπέλαζον ὡς ἀκινδύνως,
Ὑπειγμένως δ' ὤρυττον οἴμους βυθίους,
Ἐγκαρσίους τε πρὸς βολὰς πυρεκβόλων·
Ὁ δ' Ἀμάρας ἔπραττεν οὐδὲν ἀντίοις,
Ἐπεὶ κατῆρον αἰὲν ἐγκαλυφθέντες,
Καὶ πημένοντο οὔτι γ' ἐκ πυρεκβόλων.
Ὑπὸ προμαχῶνας δὲ πρόσπιπτον τέως,
Κάμιλλος οὓς τέτειχεν, οἴκου Γονζάγων,
Τῶν ὀρχάμων ὑπνὸς ἰθὺς Μαντύης·
Γερουσίη γὰρ ἴδριν ἐκπέμπει ἄνδρα,
Ὡς ἂν προμηθεύσοιτο ὅσσα προσδεῖ μοι,
Καὶ τέτταρας τέτειχεν, ὅσσαι μοι πύλαι,
Μεταξὺ τοῦ ἔναντι τῆς Ἰησοῦ μοι,
Καὶ Παντοκράτορός τε ἄλλης μοι πύλης·
Πέμπτον καθίστα Μαρτινέγκον πρὸς φρουράν,
Ὃν τῆς Κορώνης πρὸς θυμοῦ ἦν κικλήσκειν.
Καὶ τὸν πρὸς Ἰησοῦν δὲ ἄλλης τὸν Πάλμης,
Πρὸς τούσδε ἰθύνεσκε καινὸς στρατάρχης
Ὦ Κουσαῖνος κλῆσις ὕστατ' Ἀσάνου,
Γεραίρεται δ' ὃς εἷς παρέδρων κοιράνου.
Καὶ πρῶτον εἰσπέπτωκεν εἰς αὐτὸν Πάλμης,
Ὅνπερ Ῥεμπραντῖνος ἐκ Λοθαρίγγων,
Ἐφρούρεε κράτιστα καὶ συνηγόρει·
Μετὰ τρίτην δὲ εἰσβολὴν Λοθαρίγγος,
Διδοῖ ἀφεὶς τὰ πάντα εἰσπηδηκόσιν,
Καὶ μὴν διδράσκει πρός με, ὡς σαωθείη.
Ἐπὶ χρόνον δὲ βαιὸν εἰσβάλλει ἄλλον,
Κώμης Δενῶρες ὅν γε ταχθεὶς ἐφρούρει,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀνὴρ μὲν ὢν εὔγλωττος ἐν δραστηρίοις,
Ἔμπης τανῦν ἄναυδος οἴχεται ἔνθεν,
Μὴ κουλεοῦ ἑλκύσας, ὡς ἔδει, ξίφος.
Καὶ Μωκενῖκος ἀνθύπατος ἀσχάλλων,
Ἦν μηνίων κράτιστα εἰλάροιν ὕπερ.
Κόμητα δ' εἶρξε, σκέπτεται δ' ἀναιρέειν,
Μέντοι ἀμείβει εἰς ἀέννaον φρουράν·
Ἀλλ' ὁπλιτῶν ποδηγὸν ἀρτᾷ ἰκρίῳ,
Κἂν αἰτιῶντο Ἀμάραν τάδ' ἠνῶξαι.
Καὶ προσκαλεῖτο Γίλδασον πρὸς Κυκλάδων,
Ὃν αἶψα Μαυροκῆνος εἶα πειθήμων.
Ὃς ἱκάνων ἄμυναν οὔτιν' εὑρήκει,
Ἀντριστρέφουσαν δυσμενῶν μηχαναῖσιν.
Ὡς Κουσαῖνος, αὐθαδέστερος γεγώς,
Μυχοῖς κατωρύχοισι καββαλεῖν σπεύδει
Ὡραῖα τείχη, καὶ ὀχυρόν μοι ἄκρον,
Τὸ Μαρτινέγγου, ὡς ἂν ἔνθεν αὐτῆς μοι,
Καὶ κύριός τε ἐγκρατής τε δειχθείη.
Γίλδασος ἔμπης αἰτιάζειν πειρᾶται,
Ἴσοισι μέτροις Κουσαῖνον συγχέων.
Καὶ Μωκενίκῳ δίζεται κωπηλάτας,
Τριήρεων ἓξ, ἀντιᾷν ὑπουργοῦντας.
Οἷς γὰρ κατωρύχοισι βούλεται εἴργειν,
Ἀνατρέπειν τε Κουσαίνου ὀππόσοις.
Διττοὶ δὲ λανθάνουσι κῆδος Γιλδάσου,
Οἳ εὐθυνοῦντο οὗ δόκῃ Κουσαίνου.
Ἐν ᾧ τάδ' οὐκοῦν, καὶ κράτηται τάφρος,
Ὢ τῆς ὕπερθεν ἀμφ' ἐμοὶ προμηθείας!
Πυρεκβολίσκῳ ἐς μέτωπον Ἀμάρας
Τιτρώσκεται τείχεσσιν ἐγκαρτερήσας,
Θνήσκει δὲ αἴφνης, κἀτελεύτα εὐκαίρως,
Ὡς καὶ κρατοῦντα φάγαι ἐμπέπαυτ' ἔρις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὖ γὰρ πέπυστο τῆς ἐκείνου δὴ κάκης,
Καὶ ὡς ἔδει τόνδ' εἰς ἀνάκρισιν πεσεῖν.
Οὕτω κακῶς ἔπραττε ταμά ἐνθάδε,
Ὡς ἔνθα τὰ Θράκης αὖ ἔσφαλται μέγα,
Ἀλλ' εἰς ὄνειαρ τῶν ἐμοὶ ἀνηκόντων·
Βέρναρδος εἴπερ πώμασ' ὡς Προποντίδα,
Ὡς μὴ περᾶν οἷόν τε κἂν βαιὸν σκάφος,
Καὶ ταῦτ' ἔτικτεν Ὀτμάνοις ἀντιῤῥήσεις·
Ὑφώραον γὰρ ἀμφέποντες τὰ κράτους,
Μὴ νῆες ὠθήσουσαι ἄχρις ἀρχείου,
Κακὰ δράσωσιν οὖδας ἄστεος Βύζης.
Καὶ ὠχύρουν Ἄβηδον ἄχρι ἀκτῆς τε,
Σηστόν τ' εἰκότως τε ἀντικειμένην.
Νεήλυδες δὲ ἀκτὰ ἄμφω φρουροῦντες,
Κακῶς ἔπραττον προσβολαῖς νηῶν κοίλων,
Συχνοὶ δ' ἔπιπτον, κἀδεῶς ἀνῃροῦντο.
Καὶ Ἰμβραΐμος ἐξέπεμ' ἀμοιβαίους,
Κἂν οὐκ ἔθ' οἵδε ἤθελον πειθαρχέειν·
Μέμφοντο γὰρ κρατοῦντα μήτιος κακῆς
Μάχην ἐγεῖραι, μὴ δύνασθαι δ' ὀτλέειν.
Ὀχλώδεες γοῦν Ἰμβραΐμον μάρπτουσι,
Κἄγχουσι τόνδε κερματίσαντες δέμας,
Αὐτοῦ λάχους τυχόντα οὗ τ' ἀπφὺς τέξας.
Ἀλλ' οὔτε πότμος κἂν βίαιος κοιράνου,
Δεδειμάτωσε Κουσαΐνιον θράσος,
Ἀλλ' ἐξανύσας ὠκέως κατώρυχας,
Ὧν εἷς Ἰησοῦ, Μαρτινέγγου θάτερος,
Σύντειν' ἐς ἔρκος· οὕς τε πυρφόρῳ κόνει
Πλήσας τὰ πρῶτα, πῦρ ἀνῆψε δευτέρῳ,
Καὶ κάββαλε πρόῤῥιζον αὐτῶν ἐκ βάθρων.
Μετὰ τρίτον δὲ ἦμαρ ἐμβάλλει πρώτῳ,
Κἀϊστόων ἔωργε ῥήξεις φρικώδεις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς συμπερᾶν οἵους τε συμπλεκεῖς δίφρους,
Εἰσπηδάει δ' οὐκ αἶψα, ἀμβολὴν δ' ἔδρα,
Ἤματ' ὀκτώ που μὲν ἀτρέμας μίμνων'
Διδοῖ δ' ἄδειαν πρόσφορόν τε Γιλδάσσῳ,
Αὐτοὺς τ' ἀπείργειν, κἀσφαλῆ τηρεῖν χάον,
Ὑπέρτερον τείχεσσι καὶ συνημένον,
Καὶ φυξίμους τε λαβυρίνθους τεκταίνειν.
Πειρᾷ δὲ Κουσαῖνος ἐνσκῆψαι πρῶτον
Τὴν Μαρτινέγγου, ἀλλά γ' ἐγκαλινδέει
Στρατὸς ἐν λαβυρίνθεσιν ἀσκέπτως πίπτων,
Καὶ δὴ τελευτᾷ μυριὰς θρασυνθέντων.
Ἐπὰν δὲ ὠθέοντο δυσμενεῖς ἔνθεν,
Τὴν θατέραν τρέπουτα πεῖραν παιεῖσθαι,
Καὶ τὴν Ἰησοῦ εἰσδύειν ὁρώροντο'
Γεύοντο μέντοι χείρονος δυσπραξίης,
Ἔπιπτον εἴπερ ἀθραώτεροι πρώτων.
Οὐκ ἐννέπειν ἔχω δὲ ὅσσ' ἀριστείης
Ἐνδεικνύοντες ἔργα, ἄνδρες ἀγαθοὶ
Πεφύκατ' ὡς ἴδοιτε μή με δουλοῦσθαι.
Καὶ εἴγε καιρὸς εἶεν ἂν ἐγκωμίων,
Οὐχ ὅττι τἀμὰ ἐσθλὰ δ' ὅττι κλεισαίμην,
Σιγητέον δ' οὐ κοσμέον μοι τὸν λόγον.
Κἂν γὰρ φέριστα ἦτ' ἀρωγοί μοι παῖδες,
Ἀλλ' ἐντρέχεια Μωκενίκου ἰφθίμου,
Ἐῤῥώνυε πρόθυμον ὑμῖν πρὸς μάχην'
Ὃς νυκτέρευε καὶ συνῆν μοι συντόνως,
Ἔπειθε κἂν Γίλδασος ἀμπαύειν οἴκοι,
Ἐᾷν δὲ κῆδος ἐκδικεῖν τεταγμένῳ,
Κακουχέειν δ' ὃς ἢ μαλακιᾷν πρόφρων,
Πλὴν εἰσδύναντας μὴ ἰδεῖν ἀναρσίους.
Τῇ ἀλλεπαλλήλῳ δὲ ἡδόμην ἄγαν
Φορᾷ ἀγωγῆς ἔνθεν ἠδ' ἔνθεν ὀργώσης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπώπτανον γὰρ Μωκενῖκον ἐνθένδεν,
Καὶ ἔνθεν αὖ Γίλδασον ἐκθηρεύοντας.
Ὑμᾶς δὲ ὡς σκύλακας ἐμμεμαῶτας,
Ἄριστα ὥσεις βαρβάρων ἀντωθοῦντας,
Μορφωμένης εὖ τερψίνου κυνηγίης,
Ἐν ᾗ τ' ἐνασμένιζε κῆρ ἔμμοχθόν περ.
Οἷς χάριτας μὲν οὐ τυχούσας γιγνώσκω·
Εὐδαιμονῶ τε κατθανόντας ἐν μάχῃ,
Δόξῃ τελευτῆς, τῆς δι' ἄμυναν πάτρης·
Ὤφλημα δ' ἡμεῖς παῖδες εἰδέναι χάριν
Ἀνθυπάτῳ πρώτιστα, εἶτα Γιλδάσῳ,
Ἔπειτα κοσμήσασι κυδίστην ἄγραν,
Λαρηνσίῳ ἀπαρτὶ οἴκου Μαρκέλλων,
Καινῇ τριήρει ἐκ πάτρης παλινδρόμῳ,
Καὶ Μαυροκήνῳ νῦν προόπτῃ μοι στόλου,
Γεώργιος δ' οἱ τοὔνομ', ὡς ἂν κεύθω·
Οἳ πολυασχόλῳ τε κἀτλήτῳ μόχθῳ,
Κωπῆας ὁπλίσαντες ἤμυναν πόλιν.
Τέως ἅραντες χεῖρας εἰς Ὄλυμπόν δε,
Τίσωμεν εὐχάριστα ἀρχῇ παντάρχῳ,
Ἔνθεν τὰ κρείττω αὖ προμηθευσαμένῃ·
Μηνιθμὸν ἥπερ δεικνύουσ' οὐρανόθεν,
Τῆς εἰσβολῆς ἕκατι ἐκδίκως φύσης,
Ἐφ' οὓς καταῤῥύγνυσιν ὄμβρους ῥαγδαίους,
Ἀποπνίγει δὲ ἑλλοχόντων οὐ παύρους.
Λοιποί δε γ' ἐξήεσαν ἐκ πηλοῦ, δίκην
Μυιῶν μέλιτος ἐμπεσουσῶν ἐν σκεύει·
Κἄφερπον αἰδεσθέντες εἰς σφῶν καρφύρας
Ὀπάς, τάφρον τε, πάντα τ' ἐκλελοιπότες·
Καὶ Μωκενῖκος αἶψα, κἀμβολῆς ἄνευ,,
Ἀρχῇ ὀρύττει, καὶ καθαίρει μοι τάφρον.
Καὶ μὴ χρονίζων δημιουργεῖ καὶ ἔρκος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς εἶναι αὖ πάλιν με ἄρτιον κύκλῳ.
Ἀπαρτίσας δὲ εἰς στολαρχίην βαίνει,
Ἐγχειρισάντων ὅσσα καὐτῷ τοῦ κράτους.
Οὕτω τίεσκεν ἄνδρα φαιδρῶς ἡ πάτρη,
Ἀνθ' ὧν ὑπὲρ πάτρης ὅσδ' ἐκεκμήκει.
Ἦν δ' ἠρεμήσας ὅσσον ἐκ μάχης ἤδη,
Καὶ μηνύουσι τῷδε οἱ Λευκῶν Ὄρων,
Ἅπερ Σφακεῖα οἶδεν ὄχλος κικλήσκειν,
Οὓς Λευκιεῖς σὺ τοὐθνικὸν προσκλητίσαις·
Ὡς δεινὰ δ' οἱ παρίστων ἀδικηθέντες,
Φέρειν κακώσιάς τε μηκέθ' οἵους τε,
Καὶ ὡς διαρκὴς εἶεν ἂν θυμὸς σφίσιν
Εἰς δυσμενῶν δίωξιν, ἠδ' ὄλεθρόν τε,
Εἰ καὶ ἀρωγὸν Μωκενῖκον ἴσχοιεν·
Σφῶν δ' ἡγέεσθαι ἄνδρ' ἄριστον δίζοντο,
Ματθαῖον ἐκ Κύδωνος, οἴκου Καλλέργων,
Σφίσι ξυνήθη, κτήτορα κωμῶν πλείστων,
Ἐν αἶσιν οὗτοι ναιετοῦσιν ἀρχῆθεν·
Τὸν δ' οὖν γε Μωκενῖκος ἐκπέμπει ἄφαρ,
Αὐτὸς δὲ γ' ἐμβὰς ἧ στρατηγίδ' ἀπτέρως,
Πρῶτ' ἐμβιβάζει ἐς τριήρεας ἄλλας
Τῶν ἱππέων παύρους μὲν, ἀλλὰ γ' ἐκκρίτους,
Ἰλλυρίων τε, Πρυλέων τοὺς εὐζώνους·
Ἄγει δ' ἑαυτῷ Μάρκον ἐκ Συνοβίκων,
Τῶν Δαλμάτων εὔδηλον, ἄλλοις τ' ἀνδρεῖον,
Ὃν καὶ τίεσκε ταξίαρχον ἧς φύτλης·
Οὗτος, πρὸ τοῦ μοι δεινὰ συμβῆναι τάδε,
Πεμφθεὶς διοικῶν ἱππέας στρατειᾶς μοι,
Ἐδείκνυε κράτιστα ἔργ' ἀριστείης,
Καὶ ἠγάμην κάλιστα, οἷά περ παῖδα.
Ἐπὰν δ' Ἀσᾶνος ἦν ἀναζευγνὺς Βύζῃ,
Ἄνταvδρος αὐτοῦ στέλλεται Κουσαῖνος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ Βαλέτης ἦν τῶν ἐμῶν στραταρχεύων,
Τῶν προκρίτων Γαλλίης ἀρητῶν·
Ἐμνημόνευται δ' οὔτι καὶ τούτου πέρι,
Ὡς μὴ προκόψαντός τε εἴς τι γενναῖον,
Ἀλλ' εἴτι καὶ ἔωργε δυστυχῶς μάλα,
Ὡς καὶ ὑποπτευθῆναι εἰς ἀνταρσίην·
Ὅθεν μεταστέλλονται ἀψ ἐρυμένον,
Καὐτῆς Ῥιθύμνης ἀμφιώριζον φρουρᾷ·
Ἀπαίσιον γὰρ τῆμος ἔμπης πειρᾶται,
Τὴν Κουσαίνου ὦσιν ἔνθεν κωλύειν.
Συνοβίκῳ δ' ἤνωγε βαίνειν ἐς πέδον
Κύδωνος, ἡγέοντι φατρίας ἵππων,
Ἐξ ἄστεος Μινώας, οὗπερ ἐσκόπει.
Τάξεις δ' ὃς αἴρει Πρυλέων ἐκ Κιστέρνων,
Ὁμαρτέει δ' ἱππεῦσιν, ἐντολὴ ὅπου·
Καὶ Κουσαῖνος τῆς Κύδωνος ἐκβαίνων,
Ἐδειμάτου κράτιστα Βαλέτην τρέψας,
Ὃς καὶ ἀπέδρα Ἀμφιμάλλου φρουρίῳ,
Στρατὸν δὲ εἶα κερματίζειν βαρβάροις·
Συνωβίκης μένει δὲ μουνομαχήσων
Ἀνδρὶ στρατάρχῃ, ὡς τελευτῆσαι μᾶλλον,
Ἢ νῶτα δοῦναι δυσμενεῖ ἀκοντίσαι.
Νύττει δὲ ἵππον πρὸς στρατάρχην ἀνταίρων,
Καὶ ξῖφος αἴρει κακτανεῖν ἐσκεμμένος·
Ἀγάζεται δὲ Κουσαῖνος εὔτολμον
Ἀνδρὸς, καὶ ἵππον χειρὶ αἰνίζει στῆσαι,
Μήτ' ἀντιβαίνειν, καὶ ἑκόντα κατθανεῖν.
Ἀνὴρ δὲ ῥίψας ξῖφος ἐνδιδοῖ εἴκων
Ἑαυτὸν αἰχμάλωτον ἐκδιώκοντι.
Κατίσχε δ' ἄνδρα ἐν πέδαις καθειργμένον,
Καζομνύειν ἔπειθεν ἱρὰν θρησκείαν,
Ὡς Μεχμέτην ἥρωα ὀμνύειν θεῖον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τέως πάρεδρον κοιράνου ὑπισχνεῖτο,
Εἰ ταῦτα ἐμπεδοῖτο κἀκπτύων σέβας·
Ἀλλ' ὃς κακουχεῖν γυῖα αἱρεῖται μᾶλλον,
Ἁμαρτάνειν ἢ θυμὸν οἴμου ἐνθέου.
Οὐ δηθύνει δὲ δηρὸν ἔνθεν δεικνῦναι,
Ὡς χρῆμα δυσπόρθητον ἴφθιμον κέαρ.
Κάτεισι γάρ κεν δωμάτων ὑπερτάτων,
Λύτῃ ἀλύσει καὶ πέδαις σιδηραῖσιν.
Ἄγει δὲ Βερναρδῖνον, οἴκου Βαρόκκων,
Εὐπατρίδην Κύδωνος ἐξ ἀποικίης,
Συναιχμάλωτον ὄντα, συνδίαιτόν τε
Διττοῖσιν ἄλλοις Ἰταλῶν πλανηθέντων·
Ἐμβάντες οὐκοῦν ἁλιάδα ἐς μικρὰν,
Ἐρέτμεον δούρεσσι πηχυαίοισί περ,
Περῶσι δ' ἐκλαθόντες ἄκρον Μελλέχης·
Ἐπὰν δέ γ' ἱκάνουσιν Ἀμφίμαλλόν δε,
Ἀνὰ κράτος τείνουσιν ἥκειν φρουρίῳ·
Πλοῖον δέ γ' ἐμφωλεῦον ὅρμῳ Μαράθρου,
Τηνόθεν ἐξώρμητο ἐσπουδακός τε,
Καὶ ἁλιάδα σεύεται μάλ' ἐντόνως,
Κεκώλυται δὲ φρουρίου πυρεκβόλοις,
Ὡ ἁλιάδα μὴ λαφυραγωγεῖσθαι.
Συνωβίκης γοῦν ξὺν Βαρόκκῳ ἔκβαινε,
Καὶ δεξιοῦτο ἄνδρε Παλαβικῖνος,
Ὑπέρτιμος τῆς ἔνθα ταχθεὶς ὁπλίταις.
Ἦν γὰρ τεθνηκὼς προόπτης Παρούτης,
Καὶ θάτερός τε οἰκετείας Μινώτων,
Τῆς λοιμικῆς νόσοιο ἐξαρπασάσης·
Καὶ ξυγγραφεύς μοι κῦσε τὼ φιλοφρόνως,
Ἀγάμενος τόλμημα ἀνδρῶν γενναίοιν,
Ἐτ' ἦν διατρίβων γὰρ ἐς θεραπείην·
Ἀλλ' εὖτε Μάρκον ὤπτανόν μοι νοστοῦντα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐρώμενόν μοι, καὶ προκείμενον λόγῳ,
Ἥσθην ἀέλπτως κᾄξ ἀπόπτου ἑστάντα.
Καὶ Δελφὶν ἀνθύπατος ἐντίμως δέκτο.
Τοίως διευθετεῖτο ἦτορ κρατούντων,
Ἐς δεξίωσιν ἀνδρὸς εὐφημημένου,
Ὡς καὶ στόλαρχον αἱρέεσθαι πρὸς πράξεις.
Αὐλίζεται δὲ πλεύσας Ἀμφίμαλλόν δε,
Καὶ Λευκιεῦσιν ἐξίαλλε Καλλέργην·
Μυχῷ δὲ κόλπου εἰσέδυ θέσει χώρου
Κοινῇ ὄχλοισιν Ἀσπάλαθον κλημένου·
Συνωβίκην δ' ἔταττεν ἀπβαίνειν ἔνθα,
Καὶ ἦματ' αὐτῷ ἑκβὰς παύρους οὐ κτείνει,
Ἰλλυρίων παύροισι κᾀν συνῇν ἄρτι.
Ἀλλ' ὑστεραίᾳ Μωκενῖκος ἐμμένειν
Ἤνωγεν· ὅσδ' ἔπειθεν αὐτοὺς νοστέειν,
Πρὶν δυσμενεῖς αὔξοιντο ἐκδικηκότες,
Προεννέπων οἱ ἔργον οἷον ἐξέβη·
Ἐκ γὰρ Κύδωνος ἐξιέντες ἀθρόοι,
Τούτους μὲν οἰκτρῶς ὤλεκαν κατκτανθέντας,
Οὓς δ' αὖ ἔσευον καὶ θὶν ἔσχε πνιγέντας.
Παῦροι νέοντες ἐς τριήρεις εἴρηνται,
Μὴ ἐξιέντων ἔνθεν ἱππέων πάμπαν.
Καὶ Λευκιεῖς πράττουσι δεινὰ ἐξίσου·
Σεύοντο γάρ κεν ἄχρι τε Σκύφου κώμης,
Κᾀν ὧδέ που ἔκτειναν αὐτῶν οὐ παύρους,
Ἱππῆας ὄντας, κἀπιβσίνειν μὴ οἵους
Κώμην ὀρεινὴν, ἀσφαλῆ τε πρὸς φεῦξιν,
Προβάντες ἔμπης οὔρεων Λευκῶν μέχρι,
Πίμπρησιν ἄστυ, οἰκίας τε καὶ παῖδας.
Καὶ Λευκιεῖς σκήπτοντο μὴ οἵους πάλλειν,
Πεζῇ ἰόντες ἱππικὰς πρὸς δυνάμεις.
Ἄλλ' εἰ δίδωτο τοῖσδε τοία τις τάξις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔγνωτ' ἂν οἷοι Λευκιεῖς πρὸς Ὀτμάνους.
Ἀλλ' ἠνί μοι στόλαρχον ἀθρῶ νοστοῦντα,
Δυσθυμέοντα, καὶ ἐπώδυνον μάλα,
Οὐ γὰρ μόνον ξυμβὰν τόδ' ἦν λυγρᾷ τύχῃ,
Ἀλλ' ὑστέριζε τῶν ἀναισίων ἄλλου·
Ἐν ᾧ γὰρ ὠχλέοντο οἵδε γ' ἐς στάσιν,
Ἑώϊοί μοι ταὐτὰ προὔβαλον χ' οὗτοι,
Καὶ ἡγέτην δίζοντο εἰς εὐταξίην,
Χ' ὡς εὐχερεστέρα τε ἡ φορὰ ἔνθεν.
Γεώργιος δὲ αἱρετὸς τῷδ' ἦν ἔργῳ,
Κορνηλίων φαιδρός μοι οἴκου ἀρχαίου,
Ἀνὴρ ὃν αὐτὴ ἔσχον εὐέρκτην μέγαν,
Καὶ ἄγαμαί τ' ἐν παισὶν ἐγχεσιμόροις,
Παρεῖδε γάρ κεν ὁττιοῦν οἱ ξυμφέρον,
Καὶ ἠνάλωσεν εἰς ἐμὴν ὑπουργίην,
Ἀρχῆς ἀπ' ἄκρης ἱππικὸν στίφος τρέφων,
Κἄν συμπλοκαῖσιν ὀξὺς ὢν ἐπαμύνειν·
Ὃ καὶ πολιτείη τε ἀντισηκῶσα,
Τοῦτον τιέσκει, οἷα πάτρης εὐέρκτην,
Ἐς τάξιν ἄρασ' ἱππότων Γερουσίης,
Καὶ ἡγέτῃ πάρεδρον ἐγκαθιδρῦσθαι.
Τόν δε στόλαρχος συμβεβούλευται πέμπειν
Ῥωννύμενον τάξεσιν ἱππικαῖοί τε,
Καὶ πεζικαῖσιν· ἐμβίβαζε δ' ἃς
Ἐν νηὶ κοίλῃ, καὶ τριήροις κόλκάσιν,
Χωρητικοῖσιν οὗ στρατοῦ νῦν προσφόρου,
Καὶ οὐχ ὅττου δέησις ἐς στυγνὴν μάχην.
Ἐντέλλεται δ' οἱ τὴν ἑωΐαν στίχειν,
Πρὸς χερσόνησον ὠκέως δὲ τ' ἀπβαίνειν,
Πρὶν ἄν γ' ἀέξῃ δυσμενῶν τις πλημμύρα.
Οἱ στασιάζοντες γὰρ ἔκκριτοι κωμῶν,
Χώρου ὀρεινοῦ Πλατύβωλα κλημένου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πλείστους συνελκύσαντες Ἰραπυτίων,
Καὶ ἀστυγειτόνων τε χερσονησίων,
Σφῶν ἡγέτην μέμμηναν ἠδ' ἀρηγόν τε.
Συγχωρέει δ' οὐ, πνεῦμα πνεῦσαν ἀντίον
Ἔμπης βίαζεν ἐς Πάνορμον ἀχθῆναι,
Ὅποι προόπτης τῇδ' ἐὼν ξυμβουλεύει,
Περαιτέρω μὴ τῶνδε πειρᾶσθαι θέλειν,
Ἀφέντα τἀγχοῦ καὐμαρῆ τε μὴ μάρψας,
Ζητεῖν τὰ πόρρω, καὶ κατίσχειν δυσχερῆ.
Ἀλλ' εἰ δυναστεύοιτο τῆς Καρῶν νάπης,
Ὁδὸς διεκκόπτοιτο ὡς μήπω σθένειν
Ἀναρσίους, κἂν ὦσιν ὡς μεμαῶτες,
Βαίνειν πρόσω τε καὶ κρατεῖν ἑωΐων.
Τοιῶσδε οὗτος ὁ κρατῶν καπαλλάττων,
Κορνήλιον δ' ἔπειθε μῆδος ὁπποῖον,
Καὶ νηὸς ἐξώκιζεν ἄμφω τὰς τάξεις,
Κἄπβαινε πρόφρων ὄχθας ἐς Ἐλουνδίων,
Αὐθήμερον δ' ἵκανεν ἐς Καρῶν νάπην.
Εἵποντο δ' οὐ παῦροί μοι ἔνθα τῶν παίδων,
Ὁλκάσι συμπλεύσαντες εἰς ἑταιρείην,
Πρὸς τοῖσδε κωμῆταί τε τῇδ' ἀολλέες,
Τρισχίλιοι τοὔλαττον, ἀλλ' ἄνευ ὅπλων,
Δι' εὐτυχοῦς τὸ πρόσθεν ἐλπωρὴν βίου,
Πειρῶντο μέντοι χείρονος δυσπραξίης,
Ἣ Γορτύνης πέδῳ πρὶν ἔσχον Κουρῆτες.
Ἐν συντόμῳ γὰρ Κουσαΐνος ἀΐει
Ὁποία ἦν ὄχλησις ἐς Καρῶν νάπην,
Καὶ στέλλεται στράτευμα ἄρκιον μάχης,
Ὡσεὶ ἑκατὸν ἱππέων, καὶ τρὶς τόσων
Πεζῶν, ἀπαρτί ἐμφανισθέντων ἔνθα.
Ῥοπῆς δ' ἀκαρές, κἀντίταξις σπουδαία
Κορνήλιον βίαζεν εὐθὺ φρουρίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πεζοὶ δὲ ἄψ εἴχοντο, μὴ οἷοι θέειν,
Γίγνοντο δ' οἰκτρῶς· οἱ μὲν ἄγρα βαρβάροις,
Οἱ δ' αὖ κατεσφάττοντο ἐκλακτισθέντες.
Παῦροι δ' ὑποστρέφουσι ποῦ γῆς κρυφθέντες.
Ὅθεν στόλαρχον εἰκὸς ἦν ἀθυμέειν.
Δέρκοντ' ἀνασκευᾶσθαι ὅσσ' ὀνητά μοι·
Μέντοιγε κἂν ἄπτανον ἔνθεν ταιάδε,
Ἔμοι γε τέρψις ἐξέβαινε τὰ στόλου,
Πρὸ τοῦ γὰρ οἰκτρῶς δυσπραγεῖν ἐχρῆν τάδε.
Κύδωνα εἰσπέπλευκαν εἰσορμισθεῖσαι
Πρὸς δὶς δέκα δύω τε ἐκ τριήρεων,
Ἃς γῆρυς οἵδε καρβάνων βεηλίκας,
Ἀποστολῆες αὗται Ἕλλησ' ἀρχαίοις·
Καὶ δὴ προόπται, Μαυροκῆνος τακτὸς ὤν,
Λαρήνσιός τ' ἔκτακτος, ἰσήρει στόλῳ
Ἀπαρτὶ ἱκάνοντες οὖπερ ἠκούσθη,
Εἰργμένους κατίσχον οἷα ἐν κύρτῃ·
Δύψη δ' ἄτλητος προσβίαζε τοὐντεῦθεν,
Αἴρειν ἀλαλκήσοντας εἰς ὑπωρίην,
Αὐτοὶ δέ γ' ἐξήησαν ἐκπεφευγότες·
Σεύει δὲ Μαυροκῆνος ἐντόνως τούσδε,
Κἂν μακρὰν ἐκτέταντο εὖρος ἐς πόντου·
Ἐπεφθάκει δὲ ὀψέ, χειρώσας μίαν
Αὐτῷ ἐπάρχῳ, ὃν κατίσχει δάϊον,
Λοιπαὶ δέ γ' ἐκσώζοντο νήσοις Κυκλάσιν.
Ἐπεὶ θαλατίων δὲ μέμνημαι ἔργων,
Λέξω τι τέρπον καρδίην, ἐμψυχοῦν μοι.
Γερουσίη γὰρ Μαυροκῆνον προσκαλεῖ,
Νηῶν ἔπαρχον, εὐκλεοῦς Θωμᾶ κάσιν,
Προῆγε δ' ἀνθύπατον ἐς τρισσὰς νήσους,
Τὰς εἰς Ἰόνιόν δε πόντον κειμένας,
Ὡς ἀντισηκώσοιτο συγγόνου μνήμη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐφεστάκεισαν δ' ἄνδρα γενναῖον πάνυ,
Εὔφημον Ἰάκωβον, οἴκου ἐκ Ῥίππης,
Ὃς καὶ Ἀχιλλεὺς ἐν συναίμοις ἠκούσθη,
Ἦν δὲ πρὸ τῶνδε Γρυμάνου ἀμοιβαῖος,
Ἀλλ' ἀνθάμιλλος ἐν μάχαισι ποντίοις.
Ἤκουστο γάρ κεν καιρὸν ἔσθ' ὅτ' εἰλῆφθαι,
Μὶν δυσμενήων θλᾶν ἅπαξ τὸ πᾶν στόλου,
Μέντοι τῷ εἶναι Ῥιππικὴν συμβουλίην,
Κἄμεινον ἅπερ ναυμαχεῖν παραιτεῖται.
Ἔχθιστα δ' αὐτὸν καὶ μάλ' ἀσχάλλειν θροῖλο
Ἀγχωρέειν τε τῆς ἑταιρείης σπεῦσαι.
Ἐπὰν δ' ἔπαρχος ἠρέθη νηῶν πρῶτος,
Βερτούκιος γὰρ δευτέρευε Κιβρᾶνος,
Ζητεῖ τὰ εἰς ἔνδειξιν ἧς ἀριστείης,
Καὶ Βοσπόρου φύλαττεν ἄκρως ἐξόδους,
Εἰς ἀντίφραξιν ἐκμολήσοντος στόλου,
Κἂν ἐννέα ναῦς ἔσχε πρὸς δέκα μόνας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ Ζ'.

Ἦαρ δ' ἐφίστα, δεινά τε βρέμει Ἄρης.
Οἱ γάρ κεν ἀμφέποντες Ὀτμάνων κράτος
Στόλον κατηρτήσαντο τῶν μήπω μείζω,
Πλὴν ἐξυφασθέντος μοι ἐν δόλοις πρώτου·
Τριήρεας μὲν ὡσεὶ ἑπτάκις δέκα,
Δέκα πρὸς αὐταῖς αὖ τε πεντηκοντόρουν·
Κοίλας δὲ νῆας ἔνδεκα Μαυρουσίων,
Πρὸς τρεῖς δέκα τε σουλτάνων κεκλημένων,
Καὶ εἰκοσήρεις αὖ τε οὐκ οἶδ' ὁππόσας·
Ἦν δὲ στόλαρχος ἄρτι ἐκλελεγμένος
Ὃν ὠνόμαζον σύνθροοι Καρακόξαν.
Ὑπεσχέθη δ' ὃς ἐκμολεῖν ἀκωλύτως,
Ἄνευ μάχης τε καὶ στόλου τινὸς λώβης.
Γαληνιῶσαν δ' ἔνθεν ἄλα τηρέων,
Ἐξήει εἰσορῶντος αὐτοῦ τ' ἐκ Ῥίππης,
Ἀεὶ ἐρετμέοντες ἄγχι ῥηγμῖνος.
Βαλλούσας γὰρ ὠῤῥώδει ἔμπαλιν νῆας,
Ἔπλει δὲ τ' εὐθὺ Τρωάδος κατ' Ἀσίην,
Καὶ λανθάνων πέφευγεν μέρμηραν Ῥίππα.
Ἱρώνυμος μόνος δὲ ἐκ Βαταΐων,
Ὃς προσπέλαζε τῇ διεξόδῳ στόλου,
Κακῶς ἐποίει ξυμμαχούντων κοινόνων·
Ἦσαν δὲ γ' ἐξ ναῦς ἐκ μέρους Βαταΐου,
Καὶ προσκαλοῦντο ἐς μάχην Καρακόξαν,
Αὐτὸς παραιτεῖται δὲ κἄφαντος πλέει,
Προπειραθεὶς δὴ σταθερὸν Βαταΐου.
Ῥίππης δέ γ' ἠθύμει κἄβρεμ' ἐκμέτρως,
Ἐπεὶ μέμαεν ἢ στόλον θλᾶν ἢ θνᾶναι,
Πλὴν μὴ ἀπωλέσειε κῦδος πατρῷον.
Τῇ δ' ὑστεραίᾳ οὔριον πνεῦμα πνέει,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πουλὺν δ' ἀολλέει τε καὶ κρατεῖ μήδους,
Ζητεῖν κατ' ἴχνος ἐκπεφευγότα στόλον,
Καὶ ταὐτὰ συννεύει τε κἀὐτὸς Κιβρᾶνος·
Ἰχνηλάτουν δ' ἄραντες εὖ Καρακόξαν,
Ταύτην παδηγηθέντες αὐτὸς ἦν ἔτλη·
Λέσβου δ' ὕπερθεν ἐκπλέοντες αἰσίως,
Ἐφικνέοντο τῆς πάλαι Καινῆς ἄκρον,
Ἐντὸς δὲ κόλπου εὐρυχώρου Φωκείης,
Ἰδοὺ ἐποπτεύουσι θηραθέντ' αὐτὸν στόλον.
Ῥίππης δέ γ' εὐθυμοῦτο, οἷά περ λέων
Ὑπαντιάζων ἄγραν ἥς ἂν θηρήτωρ.
Λαβὼν ξῖφος δὲ θωρακωθείς τε στέρνον,
Ἔστιλβεν ὅπλοις, οἷα πώγων καὶ κόμη,
Θυμῷ δ' ἐρυθρᾶτο ὀμμάτων φάος·
Καὶ πρὸς πάλην ὄργησεν ὡς ἀνενδότως·
Βουλῇ δ' ἀγείρει Κίβρανον καὶ κοινῶνας,
Δημηγορεῖ δ' ἐν τοῖσδε, τοιάδ' ἐνέπων.
« Μὴ νῦν πτοεῖσθε, ἄνδρες, ἦν καιρὸς πάλης·
» Ἐπείπερ ἡμῶν οὐκ ἀνάλογοι νῆες,
» Πρὸς πουλυπληθῆ, καὶ ἀπείριτον στόλον,
» Μᾶλλον δ' ἐπαυξηθέντα ἐξ ἐπαρχίδων,
» Αἳ τῇδ' ἔμιμνον ἔξοδον Καρακόξᾳ·
» Κἂν γὰρ πελώριοί γε κἀπαραβλήτως,
» Ἀϊδρέες μέντοι γε ναυμάχων ἔργων,
» Μήτ' ἀντέχειν οἷοί τε πρὸς γ' Εὐρωπαίους,
» Καὶ πολλὰ γ' ἐς πίστωσιν εἶεν ἂν λέγειν,
» Ὑμεῖς ἃ κρεῖττον οἴδατ' ἱστορηθέντα.
» Ἀρκεῖ δ' ἀειμνήστοιο νίκης μιμνήσκειν,
» Ἧς οἱ πρὸ ὑμῶν ἐγκρατεῖς τῆς νήτου,
» Πρὸς νησίδας Χινάδας, οὗ φροῦδος στόλος
» Ὑπερφερής τε, ἀδρανὴς δειχθεὶς μέντοι·
» Τί δ' ἄττα πόρρω καὶ πάλαι ἀμπεπάσθην,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Κἂν ἀξιομνήμητα τῶν οὔπω φύντων,
» Εἰ τὰ πρὸ ὀμμάτων μέν, εὐκλεῆ πάνυ,
» Καὶ εἴγε συγκρίνοιντο τοῖς ἐς Χινάδας,
» Οὐχ ἧττον οἷς ἔνδοξα τῶν ἀρητῶν·
» Εὖ οἴδατ' ἄνδρες τὴν ἀριστείης ἄκραν
» Θωμᾶ ἀειμνήστοιο, ἤδη ναυάρχου.
» Διαστάσῃ γὰρ νηὶ ἧς ἑταιρείης,
» Λάθρως ἐπεμπίπτουσι πρὸς Κέω νῆσον,
» Τριήρεες κραταιαὶ, ὅσαι δὴ ἴσμεν,
» Καὶ οἷα συντάραττε Θωμᾶς συχνάς περ,
» Ὑμεῖς ἄγαν σύνιστε, κἂν μὴ ἐννέπω,
» Τὸ χθιζὸν ἐμφαίνει δὲ, νητρεκὲς τοὔργον,
» Εἰς ναυμαχεῖν νωθεῖς τε καὶ ὀρρωδοῦντας·
» Ἔξεισι Βοσπόρου γὰρ ἡλίκος στόλος,
» Αὐτὸς Βαταΐας δ' ἵστασο σχέδην,
» Κακῶς δ' ἔβαλλες κἀκεραύνους ἐντόνως·
» Ὃς δ' οὐκ ἀμύνει, καὶ μάχην παραιτεῖτο.
» Ὁ νεύμασ' οἷος ῥοιβδέειν τὴν νῆα·
» Μὴ οὖν, ὦ ἄνδρες εἴς τι ἐνδαιάσωμεν,
» Ὅρμος γὰρ ἡμῖν ὡς φέριστα ξυμπράττει,
» Οἷα στενωπὸς, ξύμφορός τε ἐς θλᾶσιν
» Παντὸς κραταιοῦ, καὶ ἀρείονος στόλου.
» Ἐς γὰρ θέσιν καθ' ἣν περ ὁρμέει οὗτος,
» Οὔ τοι χαλέπτειν οἷος, κἂν χαλέπτοιμεν.
» Καὶ μὴν ἔγωγε νηνὶ εἴσειμι πρῶτος,
» Αὐτοὶ δ' ἕπεσθε Κιβράνου ἐπαρχίδι· »
Τάδ' ἐνέπων πέταζε τῆς νεὼς λέτφην,
Καὶ δυσμενῶν κατ' ὄψιν ἔπλεε στόλου,
Ἔπειτα προσποιεῖτο τρέψασθαι ἄλλην,
Ὃν δυσμενεῖς ᾤοντο ἐκπεφευγότα,
Οὗ σκῶπτον οὐδένειαν ἐν συριγμοῖσιν·
Ἀλλ' ὃς παλινδρόμοιο ἡγεῖται τρίβου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἀγκυραν χάλαζεν ἐκβολαῖς ὅρμου·
Προὔπεμπε κοινῶνας δὲ ἐντὸς εἰσβαίνειν,
Οἳ καὶ ἀφῆκον ἐν βολῇ πυρεκβόλου,
Ἵσταντο δ' αὐτοῦ ἐντολῇ ναυαρχοῦντος,
Στόλον τε ἠκόντιζον ἐν πυρεκβόλοις
Τοῖς τηλόθεν πάλουσι συμπλοκῆς ἄνευ.
Οἱ δ' ἀντιάζειν ἐξεγείροντ' ἐγκότως,
Προεκτεθέντες πρόσθε πεντηκοντόρου·
Ὤρουτο δ' οὕτω καββαλεῖν τοίαν τόλμαν,
Ἔμπης κακῶς τρύχοντο, νηῶν σκηπτόντων·
Μία δὲ προσπεσοῦσα αὐθαδεστέρα,
Ἐς ναῦν μεγίστην τὴν Σκότην κεκλημένην,
Ῥίππου ἀρωγῇ ὤφθη ἀφανισθεῖσα·
Καὶ Καρακόξας εἰσβαλὼν στρατηγίδα,
Ῥίππαν ἐφεῦρεν ἐντόνως ἀνθιστάντα,
Καὶ ἦν μέμεινε προσπαλαίων εἰσέτι,
Εἴη Καρακόξας ἂν ἢ δμὼς ἢ φροῦδος.
Ἔπειτα ἐμπίπτει εἰς τὴν Κιβράνου,
Ὁμοίας μέντοι γε ἅπτεται τύχης.
Ἀγχωρέει δὲ αἱρετίζων οἱ κρεῖττον,
Ἀρκούμενος μὲν τῇ φθορᾷ νεηλύδων,
Πρὸς τρὶς δέκ' ὡς ἑκατὸν ἐξυπερβάντων,
Οὓς ἴσχεν εἰς ἄμυναν ἧς στρατηγίδος.
Προὔκοπτε νὺξ δὲ, καὶ διῄρηται μάχη·
Ἔνηφ' ὁ ἐκ Ῥίππης δὲ, οὔτ' ἐλιννύει,
Ἀλλ' ἐννέα ναῦς πυρπολεῖ Μαυρουσίους,
Μίαν δ' ἁλίσκει ῥᾷστα πεντηκοντόρων,
Τριήρεα πρὸς τῇδε ἄλλην μακράν τε,
Διΐσταται δὲ εὐλαβούμενος πυρσόν,
Μὴ ἀντιπυρσεύοντος ὃς πυρσευθείη.
Ἀγγέλλεται δ' ἔωθεν πρὸς Σμύρνην μίμνειν
Βρεττανικὰς μεγίστας ὀκτὼ πρὸς δέκα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νῆας, μακρὰς κοίλας τε, ὧν ποτοῦν ἴδμεν,
Μισθωμένας δὲ ἐς γόμον νεηλύδων.
Ναύαρχος οὖν ὑφώρα μήπως ἐνθένδεν,
Ἡνωμέναι ἔκτοσθε τοῖς ἐντὸς τοῦ κόλπου
Τοῦδ' ἄχρι νῆας ἀθυμηθείσας ἄκρως,
Στόλοιν μεταξὺ ἢ παρεγκεκειμένας,
Μάρψοιντο ἡττηθείσας ἐκ νικατήρων.
Καὶ δὴ κάτεισιν ἔνθεν ἐς Σμύρνην πλέων,
Καὶ Βρεττανοὺς ἔπειθεν οὔκουν συμμάχους
Δείκνυσθαι Ὀτμάνοισιν, οἷς οὔτις ῥήτρη,
Καὶ τόσον ἀξύμφωνα ἦθος καὶ σέβας,
Καὶ μὴ ἄρασθαι ὅπλα πρὸς φιλοστόργους,
Οἷς ἀριθμείη ἀρχαῖα τῶν ἀμοιβαίων,
Καὶ μᾶλλον εἴπερ οἵδε σύμμαχοι Βέλγαι
Καὶ ἀστυγείτονές τε, χ' ὁμογνωμοῦντες.
Καὶ ταῦτ' ἔπειθε Βρεττανοὺς μὴ συμμαχεῖν
Ὀτμανίδοισι, δεξιὰν δόντας Ῥίππᾳ.
Νοστῶν πάλιν δὲ φυγάδ' εὑρήκει στόλον·
Ἀολλίσας γὰρ λείματ' ὡς φθορᾶς εἶχον
Πέφευγε Καρακόξας ἐς Χίου ὅρμον.
Αὐτὸς δ' ὕπερθεν Κυκλάδων ἔπλει νήσων,
Καὶ Μωκενίκῳ ταῦτα γίγνεται δῆλα.
Λαβὼν δὲ καὐτὸς ἐκ τριήρεων δέκα,
Ὀκτώ τε πρὸς ταῖσδ' εὖ διεσκευασμένας,
Καὶ ἕξ τε πρὸς ταύταισι πεντηκοντόρων,
Ὑπήντα Ῥίππᾳ εὖ θριαμβευσαμένῳ.
Καὶ Καρακόξας μήνυσε Βρεττανοῖσι,
Βουλῇ ὑπείκειν τῇ ἐῇ, κώπῃ δεύειν
Ὅποι τράποιτο αὐτὸς, εἰ δ' οὖν ἠπείλει
Ποιεῖν κάκιστα τοῦσδε καὶ σκῆψαι νῆας.
Οἱ δ' οὐκ ἔνευον πρῶτα, ὃς δ' αὖ ἠπείλει.
Τέως ὑπεῖκον καὶ ὁμαρτεῖν ἠρκοῦντο,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μὴ ἀντέχειν φίλοις δὲ, χ' ὡς ἐχθροῖς πάλλειν.
Αὐτὸς δ' ἀνεσκεύαζε θλασθέντα στόλον,
Ὡς εὐτονώτερός τε ἢ προτοῦ δόξῃ.
Καὶ Μωκενῖκος ἠπόρει τοιοῖσδ' ἔτι,
Ὡς Καρακόζας τοὔμπαλιν σταθηροῦτο,
Ἑλπωρῇ ἀμφ' ἄκουσμα προσδοκημένων.
Φήμη γὰρ ἐπλανᾶτο ἐμπόρων νῆας
Παλινδρομῆσαι ἔνθα ἐξ Αἰγυπτίων
Ἑκατὸν ὡς νημερτὲς ἐκμετρουμένας.
Κοῖλαί τε ἱκάνουσιν ἐκ Μαυρουσίων
Ἄλλαι νεωστί, καὶ τριήρεις δέκα,
Ἀριθμὸν ἐκπληροῦσαι ἐκκεκαυμένων,
Ὡς ἑξὸν ἐκμορφοῦσθαι ἢ προτοῦ στόλον,
Ὡς φέρτερόν τε καὶ ἀμείνονα πάντῃ.
Ὡς Μωκενῖκον μερμερίζειν εἰσέτι,
Ἐπὶ ξυροῦ τε μὴ ἐᾶσαι τὰ στόλου,
Τοιῶσδέ τ' εἰς ἀγῶνα λοιπά τε κράτους.
Καὶ δὴ ἄρας τοὐντεῦθεν ἱκάνει πρός με,
Ὅποι μένων σκόπευε δυσμενῶν οἴμους.
Μὴν δ' οὐ παρέῤῥει καὶ βεβούλευται κρείττω,
Μετασταλῆναι αὖ στόλον πρὸς Κυκλάδας,
Ὀτμανίδων ἴσχοντα ὑφίνουν τύφον.
Ἀντώνιος δέ, οἰκετείας Βερνάρδων,
Ὁ καὶ στολάρχου αἱρεθεὶς ὑπάλληλος,
Βαθμηδὸν ἐν στόλῳ τε προοβάς τις μέγας,
Λαβὼν τριήρεις μακρὰς, ἃς δύνατ' ἴσχειν,
Καὶ ἃς νόσος τε λοιμικὴ ἐκλιμπάνει,
Ὡς ἐκ πασῶν ἀχθῆναι ὀκτὼ πρὸς δέκα,
Εἰ καὶ μέμειναν ἄλλαι εἰς ἐμὴν χρῆσιν.
Ἄγων τε νῆας κοίλας, ὡσεὶ τρὶς δέκα,
Ἐν αἷς ἐφίστα εὐδοκιμήσας Ῥίππας,
Ἑαυτὸν ἐμβίβαζε πεντηκοντόροις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἐκπλέουσιν ἀσφαλῶς ἀδείμαντοι.
Ἄγγελμα εἴπερ ἔσχον ἐκ διακτόρων,
Νῆας τὰς ἐξ Αἰγύπτου εἰσπλεῦσαι Βύζην,
Μαυρουσίων ἄλλας τε καὶ τὰς Βρεττανῶν,
Ἐγκαρτερούσας Καρακόξαν ἐκ Χίου,
Ὃς εἰσέτ' ἐγκαίνιζε θλασθέντα στόλον.
Ἀλλ' ἀκμάσαντος ὡς ἀπ' ἀρχῆς αὖ πάλιν,
Ἔξεισιν ὑψίκομπος ἐνθένδ' ἀπτέρως,
Κάτεισι δ' αἶψ' ὁρμίσας εἰς νῆσον Μήλου,
Καὶ ἡδόμην δέρκουσα τῇδ' ὁρμισθέντα,
Ἤλδαινε γάρ μοι εἰς ἀμείνον' ἐλπωρήν·
Εἰ γὰρ Προποντὶς ἠσφάλιστο ἐκ παύρων,
Πολλῷ γε μᾶλλον ἐκ συχνῶν ὅρμος νήσου·
Εἰ γὰρ καθειργνύοιτο ἔνθα πᾶς στόλος,
Ἐχρῆν λιμῷ φθαρῆναι ἐν βραχεῖ χρόνου,
Ἢ ἐξιόντας ἔνθεν ἐκπλεῖν εἰς ᾅδου.
Ἦν δὲ στόλος μοι ἐγκατασπαρθεὶς ὕπερ
Ἄκρου Κυάμου, ἐκ σφοδροῦ ἁλὸς φλοίσβου.
Κἀπιστάτης πευθεὶς τάδ' ἐκ διακτόρων,
Ἔπλει μὲν ὡκέως τε εἰς ὄψιν Μήλου·
Μέμεινε δ' ἔνθα, εὐδείας ἐπειγούσης,
Ὡς ἡμέρας τρεῖς ὁπλιτεύων ἀπράκτως.
Οἱ δυσμενεῖς δέ, εὐμενείᾳ εὐδίας,
Ὡς μὴ ποτ' ἐμπέσωσι δεινοῖς χείρασιν,
Ἢ τοῖς πρὶν οἷς ἤχθησαν ὅρμῳ Φωκείης,
Ἀνέκθορον φόβοιο προσβιασθέντες,
Κατ' ὄψιν αὐτοῦ ἀντιτάκτου Βερνάρδου.
Καί φασι τόνδε οἱ περὶ γνώμας δεινοί,
Ὡς τῇδ' ἐχρῆν μὲν τὰς τριήρεις τάττειν,
Ἀγούσας ὡς τοσαύτας ἐκ νηῶν κοίλων,
Αὐτὸν δ' ἐπιστατοῦντα πεντηκοντόροις
Καθειργνύειν ῥᾴστα ἐν Μήλῳ στόλον·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ῥίπταν ἀπαγγέλλειν τε καιρὸν μὴ θέλειν
Τὸν πωποτοῦν ἁρμοστὸν εἰς θλάσιν τούτου·
Σὲ δὴ προέσθαι ἐς χάριν μὴ δρᾶν πάτρης,
Ἐμὲ πρόαγε πρὸς πόρον ξὺν κοινῶσιν,
Ὡς προσδοκῶντα ῥᾷστα ἢ τὰ Φωκείης·
Καὐτὸν παριδεῖν ἐννόημα ναυάρχου·
Ἐᾷ δὲ Καρακόξαν ἔνθεν ἐκβαίνειν,
Εἰ καὶ ἀπῆργε μὴ Κύδωνα εἰσβαίνειν,
Ὕπερθεν ἐστὼς εὐμενείᾳ πνευμάτων,
Καὶ οὐρίου πνεύματος ὥρμει πρὸς στόλον,
Ὁ δ' αὖ δεδιὼς, ἐγκαλύπτεται ἄκρου
Πῇ Μελλέχης μέν, πῇ δ' ὑπαί τε Μαράθρου,
Τάχ' ἂν ἐπεὶ σκόπευεν εἰς ἐμὴν ἄτην,
Μὴ ναυμαχοῦντα τοῦ σκοποῦ παρεμπέσῃ·
Ὃς δ' οὐκ ἔσευεν, ἀλλ' ἀπαλλάξας πρῶτον
Τριήρεας, πλεῖ αὖ πάλιν πρὸς Κυκλάδας,
Προϊσχεθεὶς στέρησιν ὑδάτων ἄκους·
Καὶ Καρακόξας θαμυρίσας αὖ στόλον,
Ἔπλει ἐμὴν κατ' ὄψιν ἐς νῆσον Δῖαν·
Οὗ νυκτέρευεν, ἦν γὰρ ὀψὲ πρὸς πρᾶξιν.
Καὶ πρωὶ ἔνθεν ἀπτόητος ἀπαίρων,
Καταδραμεῖν μοι προσπεποίηται λάβρως.
Καὶ μὴν δεδειμάτωμαι ἀθροῦσα στόλου
Γαῦρον βρέμοντος οὐλοὴν ἐμοὶ λώβην·
Ἀλλ' εἰ διαστείχοντα εἶδον ἠρρώμην·
Καὶ μᾶλλον εἴπερ ὁλκάδαιν προσκειμέναιν
Οὐχ ἅπτεταί πως προσκαλούσαιν τ' ἐς μάχην,
Ἀλλ' ἐκτελεῖ δίαυλον ἐς Παλαίκαστρον,
Ὃ ἦν τετευχθὲν ἐς Δίου ἄκρου εἶλαρ,
Προχωρέει δ' οἱ ῥᾷστα νείκεός τ' ἄνευ,
Ἐπεὶ γεγύμνωταί τε τῶν ἀμυντήρων·
Ὁ γὰρ γεγηθὼς ἐκτρέπειν πάντ' Ἀμάρας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἴρει μεγίστους ἔνθεν ἓξ πυρεκβόλους,
Ὧν ἔσχεν ἀρχῆ, καὶ προσῆψε Γονζάγας,
Ὡς μὴ ὄλοιντο, φρουρίου πορθουμένου,
Μικρῶν μεμηλὼς ἐντελεστέρων δ' οὔ τοι.
Ἀλλ' εἶγε ὠχύρωτο φρουρὰ νῦν ἄρτι,
Οἷα πρὸ τῶνδε, οὐκ ἂν ὡς ἐκ προσπαίου
Προσχώρεε στόλῳ τε πορθεῖν ἀσφήλῳ.
Ἐχρῆν δ' οἰηθῆναι αὐτὸν γεννάδαν·
Πόσαι τριήρεις ἐξόλοιντο παμπήδην,
Πόση ροὴ τε αἱμάτων ῥεύσειέ πως,
Πρὶν ἢ ὑπερφέροιντο ἔρκους φρουρίου.
Οὐκ οἶδε δ' αὐτῶν τεῦξιν ἐξυπηρετεῖν
Συνηγοροῦσιν ἀμβολὴν πρὸς πορθοῦντας·
Διημερεύοντας γὰρ ἡ χρόνος μάρψεν,
Ἣ καὶ τύχης τέτυχον ἀνταῖοι πρώτης,
Πλεῖστα τυχηρῶν τεχνικοῖς ὑπουργούντων.
Εἰ οὖν τάδ' ἐσκοπεῖτο εἴδοις ἂν ῥᾷστα
Ἄπρακτον ἀγκάμπτοντα μὲν Καρακόξαν.
Δίδου δ' ἀεὶ ἔνδειγμα ναῦν ἐπαρχίδα
Πρὸς Μαυροκήνου εὖ διεκδικουμένην,
Καὶ σύγκριναι ἄλληλα νῆα φρουρίῳ,
Λίθῳ ἐπ' ἀλικλύστῳ ἐστηριγμένῳ·
Ἦν ἐγκρατὴς γὰρ τοῦδε ὀψὲ ἤματος,
Καὶ ὑστεραίας πρωῒ φαῦσις νηῶν μοι,
Αἳ ἓξ τε ἀντέλλουσι πεντηκοντόρων,
Ὅθ' αἶψα Καρακόξας Ἀλμυροῦ αἴρων,
Ὅποι ἐνυκτέριζεν, ὀῤῥωδῶν λώβην,
Ἐς Δῖον ἄκρον ἤντετο στόλῳ πάλιν.
Ῥίππας περιζώννυτο ὅπλα ναυμάχων,
Πιλνᾷ δ' οὐχ οἷος, εὐδίας προστατούσης·
Καί φασι Καρακόξαν ἐκφεῦξαι θέλειν,
Μὴ ναυμαχεῖν μὲν αἱρετίσαντ' αὖ πάλιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μέντοιγε Κουσαΐνον ἐμβάντ' ἐς στόλον,
Ἐς δεῖγμα χάρμης, κτήσιος Παλαικάστρου,
Μὶν σχετλιᾶσαι καὶ ἀβέλτερον καλεῖν,
Καὶ τοῖα φατίζοντα ἐκδιηγοῦντο.
« Εὖ οἶδας ἄνδρας, οὓς φέρεις νεηλύδων,
» Δεδιότας ὅρμημα πυρόεν Ῥίππα,
» Στόλον τ' ἀφέντας ἐκπεφευγέναι ἔῳ,
» Μολεῖν δὲ σ' ἔνθα, καὶ ἄνευ ἀλκασόντων'
» Ἡμεῖς ἄρ' οὖν, ἣν ἄστυ Κρητῶν μητρῷον
» Θέλοιμεν ἐκπορθῆσαι, ὡς ἐφετμή τε,
» Ἄλλους μὲν ἀλκάσοντας οὐκ ἔξεστ' ἴσχειν,
» Πλὴν τούσδε ἀνδρῶν ἐν στόλῳ τεθραμμένους,
» Μαυρουσίων τε τοὺς σακεσπαλεστάτους.
» Εἰ γοῦν ἀπαυδήσωμεν αὐτῶν πρόκλησιν,
» Καὶ συμπλακῆναι τοῖσδε μὴ προσδεχθῶμεν,
» Τί ἔσεται ἂν τῶνδε, κἀκείνων πέρι;
» Ἡμῶν τίς εἴποι, αὐτὸς ἔργου πρὸς μάχην,
» Ἣν αὐτοὶ δόξοιμεν ὀρρωδεῖν πρῶτοι;
» Μὴ οὖν ἀναίνου τὴν πρὸς αὐτοὺς νῦν μάχην,
» Καὶ μᾶλλον εἴπερ καιρὸς ἡμῖν συμπράττει,
» Μὴ ἀμφιπιτνᾷν οἵας ἐγκοίλας νῆας,
» Ὑπ' εὐδίας μενούσας ἡμῶν τηλόθεν.
» Μόναι δὲ λοιπαὶ ἑπτὰ πεντηκοντόρων,
» Οἷαί τ' ἐρέττειν, ἢ πελάζειν ἢ φεύγειν,
» Πρὸς νῆας ἀσφαλῶς τε ἐγκαλυφθεῖσαι·
» Οἶμαι γὰρ οὐδ' ὅπως τε ἂς πρὸς τοσαύτας
» Αἴρεσθαι ὅπλα ναυμαχεῖν τ' ἀσκέπτως.
» Ἀλλ' εἴγε καὶ αἴροιντο αὐθαδισθεῖσαι,
» Εἴη ἂν αἰσχρὸν ἄπλετον τόνδε στόλον
» Παραιτέεσθαι τὴν πρὸς ἥττονας πάλην ».
Ἐν ᾧ δὲ Κουσαΐνος οἷς δημηγόρει,
Ἀντώνιος πρόσκειτο εἰς ἐχθρῶν ὄψιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θυμὸν δ' ὅδ' αὖ ἐδείκνυ ναυμαχησέειν.
Καὶ μηνοειδῆ τάττεται Καρακόξας
Λεπτὸν στόλον, καὐτός τε ἵδρυται μέσῳ.
Ἀλλ' αὖ τέ μοι ἔπεστι μεμψιμοιρέειν.
Ἑπτὰ συνηρτύροντο πεντηκοντόρων,
Τρισσαὶ μόναι βάλλουσι γενναίως πάνυ,
Αἱ τέσσαρες μέμειναν ἄπρακται πάμπαν.
Ποῖον δ' ἂν αὖται οὐ μαθεῖν αἶσχος φέρω;
Ἐῶ δὲ οἷς καθῆκον ἰχνεύειν τάδε.
Καί φασιν ὄντως εἰσβολὴν κατὰ πρώτην,
Ὡς πρῶτον ἠντιῶντο, τὴν στρατηγίδα
Ὥρμησαν πασῶν τε αὐθαδεστέραν,
Καὶ Καρακόξου καλλίων ἐρωμένων,
Ξὺν ἑπτὰ ἄλλοις πάμπαν ἐξηφανίσθαι.
Ἀφίστα δ' οὗτος, ἀλλὰ πεντηκοντόρους
Θέλει προσίσχειν πάσας, ὡς ὁμωνύμους,
Ἰσοσθενεῖς θ' ὡς αὐτὸς ᾖετ' ἀφρόνως.
Οὐκ οἶδε δ' αὐτῶν ὡς διάφορος λόγος,
Κἂν οὔνομ' ἔσχον κοινόν, ὡς εὔαδέ πως.
Χείρω πεπόνθεισαν δὲ ὀκτὼ πρὸς τρισσὰς
Ἀνθιστάσας μὲν ἐντόνως, ἄριστά τε.
Ὡς εἴγε πᾶσαι προσπάλαιον ξυμφώνως,
Ἠκηκόητ' ἂν εἰν ἀριστείαις μείζω
Ἢ ἐς Χινάδας, πανολεθρίην στόλου·
Ἀλλ' οὐρίου πνεύσαντος ᾤχετο σύμπας,
Ῥίπτας δέ γ' ἐν κοίλεσσιν εἰσπεσὼν μίᾳ
Ἐκ Βρεττανῶν πρὸς Δῖον ἄκρον κειμένην,
Πίμπρησι, λοιπαὶ δὲ εἵποντο στόλῳ,
Καὶ ἐς Κύδωνα ἐγκαθείργνυται πρόπας,
Ἀπαλλαγέντων Βρεττανῶν ἐς πατρῷα.
Ἀλλ' ἦν ἔρις τις ἐν κρατοῦσιν ἀλλήλοις·
Ἐπεὶ στρατάρχης τῷ στολάρχῳ ἠτεῖτο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μαυρουσίους τε καὶ τριήρεων θρεπτοὺς,
Ἐς δευτέραν μοι εἰσβολῆς πεῖραν ἄλλης·
Θέλει δὲ πέμπειν αἶψα μήτ' ἐλιννύειν.
Προὔκοπτε γάρ κεν ὥρα, λήγοντος θέρους,
Καὶ Καρακόξας ἄντεται ἀνασχέσθαι,
Οὗ ἄχρι πειράσοιτο ἔργων μειζόνων,
Ὡς μὴ νέκται οἳ' ἄπρακτος ἐς Βύζην.
Βουλεύεται γὰρ Ἀμφιμάλλου φρούριον
Ὅπως κατάσχῃ, δυσχερὲς κἂν τοῖς πρώην.
Ἔπλει δὲ πρῶτον ἔνθεν ὅρμῳ Μαράθρου,
Ἐπαρχίδας ἀπάρας, ἀλλά γε πλήρεις
Ἐκ Δουριμάργων, ὧν πότ' ἂν δύναιτ' ἔσχειν,
Ἄγει τριήρεών τε συμπασῶν σκάφη,
Καὶ ἄλλα δὶς θ' ἑκατὸν ἠὲ καὶ πλείω.
Νυκτὸς καθοπλίσας δὲ ὡς δισχιλίους,
Ἐς νησίδα ἔγγιστα τούσδ' ἐκφορτίζει,
Μεταίφνιοι δὲ πρωὶ ἐμφανισθέντες
Φρουρᾶς ἐπεισπηδῶσι δύσβατον τεῖχος
Δὶς καὶ τρίς, ἐκλυττῶντες ὁρμῇ ἀσχέτῳ,
Αὐτὸς δ' ἀπ' ἄκρου Καλλογήρου κλημένου
Ἦν θρασύνων ἀσπιστὰς ἐς μάχην νύττων.
Οἱ δ' ἐντὸς ἠμύναντο ὡς ἀνενδότως·
Ἐπεὶ προόπτης τῆς Διήδων οἰκίας,
Καὶ Φριστίνιος ὁπλιτῶν ὑπέρτιμος,
Ἄμφω ξιφήρε ἀντέχειν θαῤῥυνέτην,
Μὴ ἐνδίδοσθαι εἴ τι ῥιψοκινδύνοις,
Καὶ καββαλεῖν τοσάκις ὁσάκις τούς τε·
Ἐν ᾧ δὲ ἠμύναντο ἔνθεν ἐντόνως,
Οὐχ ἡ τυχοῦσα κἀκ πυρεκβόλων λώβη·
Πλείους γὰρ ἐμμένοντες ἀστέγαστοί τε
Ἐς νησίδ' ὠλέκεισαν ἄρδην πρησθέντες.
Καὶ Καρακόξας Καλογήρῳ ἐδρεύων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Συνίπταται ἁρπακτὸς ἐξ ἑνὸς πληγείς,
Καὶ ὁ θρίαμβον προσδοκῶν ἐξ ἐργμάτων,
Λυσσώμενος τελεύτα, εἶγ' ἐπώπτευεν,
Οὐχ ὡς κενὰ προϋκοπτον ἀλλ' ὀλλυμένους,
Ἄλλως τε ὡς μάταια μειοῦσθαι στόλου.
Ἐπὰν νέκυν δ' ἤσθοντο ἔνθα προστάτην
Τὰ νῶτα δόντες συμπεπόρθμευκαν στόλῳ,
Καὶ ἔνθεν ἐς Κύδωνα λεῖμμα κτανθέντων·
Φήμη γὰρ ἐκκεκαῦσθαι ὡσεὶ χιλίους,
Τῶν φρουρίου δ' αὖ Φριστίανος πεπληγώς,
Μεθ' ἕκτον ἦμαρ κάτθανε κλυτὸς πέλων,
Τέσσαρσιν ἄλλοις ἀγαθοῖς δεδειγμένοις.
Ὡς τῶνδ' ἐχόντων δυστυχῶς, κοὐχ ὡς ἔλδωρ,
Ἄπο σκοποῦ τε ὑψικόμπων Ὀτμάνων,
Ἦν Κουσαΐνος ἔμπα δήϊα ζέων,
Εὔελπις ἄρτι εὐμενεστέρας τύχης.
Εὖ οἶδε γάρ κεν δρημοσύνην Γιλδάσσου,
Καὶ οἷον ἠρίστευσεν εἰς ἄμυνάν μοι,
Τὴν πρὸς κρατοῦντα κάρτα πειθὼ τηρέων.
Ἀλλ' αἶσα βασκαίνουσα ἔνθετο σκῶλον
Μεταξὺ τῶν δε· τῷ γὰρ ἀκρατῶς λέξαι,
Αὐτοῦ κατ' ὦπα εἰς Ἀνακτόρειόν τε
Καθεῖρξεν, κἀξίην τε ταῦδ' ἀφαιρεῖται.
Καὶ εἰργμένον προΰπεμπεν εἰς Γερουσίην
Διευκρίνουσαν ἢν ἂν ἥδε τῷδ' ὕβρις.
Ἀνηγόρευε δ' ἄλλον ἐκ Κολωρίδων,
Φόρου Ἰουλλίοιο, εὔδηλον γένει.
Καὶ Κουσαΐνον φασὶ δαψιλευθῆναι
Μνᾶς ἀργυρᾶς ἓξ τῷ διακτόρῳ Θρόου·
Κἀπείγεται εὔελπις εἰσβολὴν ἄλλην,
Οὐχ ἅπτεται δὲ ὧν ἐπειρᾶτο πρώην.
Ἀφεὶς δὲ ταῦτα, Βηθλεὴμον κλημένον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ζητεῖ ἄκρον μοι ἄλλον, ὡς ἐκπορθήσων.
Τούτου δ' ἔναντι, ἀλλ' ἐναλλάγδην ἄλλων
Μέγαν τέτειχεν ὁ κρατῶν προμαχῶνα,
Ἐντὸς δὲ τούτου ἄλλον ἦττον' αὖ πόλιν,
Εἰς ἀσφάλειαν ὁπλιτῶν προσφυγάδων.
Παρωνύμως δὲ Μωκενίκου κικλήσκει
Ἐργασίην, καὶ Γάλλον ἐκ Γραμομβίλων
Αἰζήϊον μέν, ἀλλὰ τῶν ἀρειτόλμων,
Ὑπέρτιμον τίθησι τῇδ' ἀμυνόντων.
Πρὸς τόνδε Κουσαῖνος εἰσπεσεῖν σπεύδων,
Δόκευεν ἐκ Κύδωνος ἥκειν τὰς τάξεις
Μαυρουσίων τε καὶ τριήρεων ἄλλους,
Καὶ ἵκμενος πέπραχεν ὅσσ' ἀναγκαῖα
Πρὸς Μωκενίκης αἵρεσιν, καὐτοῦ ἄκρου,
Ἐγκαρσίους ὁδούς τε καὶ κρυπτὰς πάλιν,
Ὡς ἂν στίχοιεν ἔνθεν ἐγκαλυφθέντες.
Τελῶν δ' ἔγγιστα εἰσέβαλλεν ἐντόνως,
Γραμομβίλης δ' ᾧ ἠντίαζε γενναίως,
Καὶ ἴσχε τῆλε καββαλὼν δὶς καὶ τρίς τε,
Πυρεκβολίσκῳ ἔμπα τρωθεὶς αὐχένα,
Ἄνεισ' ἄναυδος πρός με, κἀπόπληκτός τε,
Τῶν ψυχικῶν δὴ ὀργάνων συγκαμνόντων,
Ξυμβάντος οὕπερ, ὁπλῖται καταπλαγέντες
Πρόσφευγον εἰς τὸν ἔνδον, ἀλλ' ὑπὲρ τάφρον,
Ὃν Μωκενίκης Βέλος οἶδε κικλήσκειν.
Οἱ δ' αὖτε εἰσώρμηντο συνθρασυνθέντες,
Θοῷ δ' ἀγῶνι ἐκράτησαν καὶ τοῦδε,
Οἷς καιρὸν διδόντες ἐμπρῆσαι οὖδας,
Ὃ δὴ ὑπεστρώννυτο πυρφόρῳ κόνει.
Καὶ Μωκενῖκος ἄλγ' ἦν πεπαρμένος,
Ὡς καὶ γνάθον συστεῖλαι, ἠτόνει δ' ἄγαν,
Καὶ γὰρ στόμα ἠνέῳγε κἦρ ἀναψύχων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ πρὸς θεοῦ ἔδιζεν, ἦν ἄκεσμά τι
Εἰς τῶν δ' ἀνάκτησίν τε, ἠδ' ἐχθρῶν φύξιν.
Χ' ὁ ψυχαγωγῶν οὔτις ἦν στρατηγέων·
Ὁ ἐκ Κολωρίδων γὰρ εὖ τεθραμμένος,
Ἠρέσκετ' ἀμπαύεσθαι εἰς ἄβρὸν λέχος,
Τυτθὸν μεμηλὼς τῶν ἀρηΐων ἔργων.
Τυτθὸν προσηύδα ἦττον, ἀλλ' ἀνθωμίλει
Ὡς μὴ ἀπαντᾷν καὶ κραττοῦντ' αἰτουμένῳ.
Ἀντίκρισιν δ' ὃς εἴπερ οὐκ ἴσχει μίαν,
Ἀντίσταται ὡς προχωρήσων πρῶτος,
Κἂν ᾖ παρήλιξ ἀνθύπατός τ' ἀξίῳ.
Γεώργιος δὲ Μαυροκῆνος οὐκ εἶα,
Εἰ καὶ προύπτης, κηδεμών τε νηΐων,
Ἔμπης ἑαυτὸν προσφέρει ὑποστῆναι
Ἀγῶνι παντὶ, καὐτὸν ἀμπαύειν γυΐᾳ,
Σεβαστὸν ὄντα γήρᾳ τε καξίᾳ.
Εἵποντο δ' ᾧ προβάντων παίδων μοι πλεῖσται,
Ἰλλυρίων τε ἱκανοὶ τῶν εὐζώνων,
Οὓς ἦγε ταξίαρχος ἐκ Συνωβίκων,
Κωθούμενοι τρέποντο δυσμενεῖς ἔνθεν,
Πλείστους δὲ τῶνδ' ἅψαν ἐς κνέφας ἄδου.
Βέλος δ' ἀνακτησθέντες εἵλοντ' ἐκλείπειν,
Κἀῶσιν ἀφρούρητον ἅμματα τρία.
Ὑποστραφέντων δ' αὖθις ἐκπομπευσάντων,
Οἱ δυσμενεῖς πειρῶντο εἰσβάλλειν νέως,
Καὶ προσπέλαζον αὖθις ἐγκαλυφθέντες·
Ὑπαὶ δὲ Βέλους τεῦκτο Ἰπνὸς κλημένος,
Ἀνασπάσων ὤθηστιν ἔνθεν ὁρμώντων,
Καὶ πυρπολοῦσιν, ἀντικρούσιος χάριν·
Ἀλλ' ὅς γε τοὔργου ἐσφάλη εἰς τὰ πρόσω·
Ὁπὴ γὰρ οὐ πώμαστο εὖ κατωρύχου,
Καὶ πῦρ ἀνασχάσασθαι ἦν ἀναγκαῖον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ῥῆξίν τιν' ἐμποιῆσαι οὐ σμικρὰν πάνυ,
Μέρους ὀχυροῦ κἀσφαλοῦς χοὸς Βέλους.
Αὐτοὶ δ' ἐρωάζουσιν ἀκρονυχίῃ,
Μέσῳ δὲ νυκτὸς εἰσέπιπτον τῇ ῥήξει,
Καὶ ῥᾷστ' ἐπικρατοῦσιν αὐ πάλιν Βέλους.
Κἀμφεφύτευον αἶψα ἑπτὰ σημαίας,
Ἔνδειξιν ἐμφαίνοντες ὧν ἦρξαν βίᾳ,
Ὡς ῥᾷστα ἔσσεσθαί τε κυρίους τάφρου.
Ἐκ γὰρ φρεάτων ἠντύνοντο ἐμβαίνειν,
Ὀπὰς κατεργασθέντες ἀντήρεις ἔνθεν.
Ἐν τοῖσι Μωκενῖκος ἠθύμει πάλιν
Βραχεῖ ἀνατραπέντα κεδνὰ ὀπτάνων.
Ἀλλ' οἷον ἠλλοίωτο αὖθις ἐς κρεῖττον,
Ἵστασο φράδμων δρημοσύνας αἴτιον.
Ἐμὴν γὰρ εἰς ἄμυναν οἱ γερουσίης
Ἦσαν προμηθευθέντες ἱππικὴν νέαν,
Πρώτης φθαρείσης, ἀλλά γ' ἐντελεστέραν.
Καὶ θωράκων ἱππῆας, ἄδε κικλήσκειν
Ἕλλησιν οἶμαι οἱ κατάφρακτοι οὗτοι,
Τάττων δ' ἰλάρχην οἷσιν κλυτὸν Βιλάλτην,
Αἰζηΐον μὲν, ἀλλ' ἀρείτολμον πάνυ,
Ἐφευρετήν τε δηΐων τεχνασμάτων·
Ὃς καββὰς ἵππου σὺν δέκα ἰλαρχίης,
Πάντῃ σιδηρετοῖσιν οἷα σφῶν τάξις
Ἀπὸ κράατος βάσιος ποδῶν ἄχρι,
Ὡς καὶ σκοποῦντας ἐνθεάζειν ἐς τέρας·
Ἄνεισι δ' οὐδὸν ἐκ τάφρου ὡς πρὸς Βέλος.
Εἵποντο δ' αὐτῷ οἱ ἰλαρχίης δέκα,
Ἐμῶν τε παίδων συνθεόντων θαλπέειν,
Ἣν ἐκτροπὴν ἴδωσιν ἐξ ἀναρσίων·
Ἐπὰν δ' ἄναντες ἦνυσαν πεζῇ τάφρου,
Κἀς ὄψιν ἐμφάνιζον αὐτοὺς βαρβάροις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πυρεκβολίσκοις οἷς ἑκάστη χεὶρ ἔσχεν,
Αὐτοὺς ἔπληττον, καὶ ἀνήρουν ὡς πλείστους·
Πῇ μὲν δι' ἐμφάνειαν ἐκπλάγων ἔργων,
Πῇ δ' ἐκ βολῶν τε ἀθρόων πυρεκβόλων,
Πέφευγον ἀλλ' ὤκιστα μακρὰν ἐκ Βέλους·
Τετρωμένων δὲ ἀμφὶ τετράκις δέκα,
Κάρηνα τῇδε πρόσφερον νίκης δεῖγμα.
Ἀλλ' ὃ κράτιστον εἰς ἐμὴν θυμηδίην,
Ἦν ἀθρέειν σύρεσθαι αὐτῶν σημαίας,
Ἐμὸν δ' οὔδας τηλόθ' ἐμφυτευθείσας.
Καὶ ὁπλίτας ἤραντο αὐτῶν εἰς ὄψιν
Φαύλισμα εἰς ὀνοστὸν Ὀτμάνων τύφου.
Τόλμημα δ' ἄλλο οὐ παραδραμεῖν φέρω.
Εἷς Ἰταλῶν γὰρ τάξιος Ναζηραίων,
Ἐπάρας ἀμφ' ὦμοισι βόμβαν κλυμένην,
Φρέατι προσπέλαζεν, οὗ θαμύριζον
Οἱ τεκτονουργοὶ καὶ ὀρύττοντες πρός με,
Καὶ στὰς περὶ στόμιον ἐκπυροῖ βόμβαν,
Κἀφῆκε πίπτειν ἐς βαθὺ φρέαρ τήν δε,
Ὡς πυρπολῆσαι ἐμφωλεύοντας ἔνθα.
Τοιῶσδ' ἀνασκήδναντο λοιποὶ ἐς πέδον,
Ὡς τοὺς ἐμοὺς κρατῆσαι εὐμαρῶς Βέλους.
Οἱ δ' αὖ διαδραμόντες εἰς σφῶν καρφύρας,
Ἔνθεν κατωρύχεσι πειρῶνται πάλιν
Τάφρῳ διήκειν λιμπάνοντες νῦν Βέλος,
Οὗπερ μεταξὺ χἀτέρου προμαχῶνος,
Τοῦ Παντοκράτορός τε πρὸς πύλην ἄλλου,
Ὤρυττον ἀθρόως τε ἠδ' ἠπειγμένως.
Συνωβίκης δὲ ὧν μιμηλὼς Γιλδάσσου,
Ἴσοισιν ἠντίαζεν ἐν κατωρύχοις
Βαθυτέροις δὲ ὧν ἔτυχον ἀντήρεις.
Ἐπὰν δ' ὑπήντα, πυρφόρῳ μεστοῖ κόνει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπυρπόλει τε ἀσχαλουμένους ὕπερ.
Τούτων καέντων ταὐτὰ πειρῶνται ἄλλοι,
Καὶ ταὐτὰ μὲν πάσχουσιν, οἷά τε πρῶτοι·
Τόσους δ' ἐπίμπρει εἰσδυόντας ὁπόσσους,
Ὡς ἐκκεκαῦσθαι ἄρτιον μυριάδα·
Ἐπὰν δ' ἐπεῖδε Κουσαῖνος τάγματα
Μαυρουσίων, στόλου τε θρεπτοὺς μειοῦσθαι,
Προκινδυνεύειν δ' οὓς γε, πρὶν ἂν κυρίους
Γένοιντο αὐτοῦ τάφρου, ἐξαφανίσθαι,
Ἀνακρίνει βέλτιστον αἴρειν τῶν τῇδε,
Ὑποστρέφει δὲ αὖ πάλιν πρὸς καρφύρας,
Πάνυ δ' ἄσεμνα ἢ πέφευγαν ἀρχῆθεν.
Τῆμος γὰρ ὀμβρήμασσι προσβιασθέντες
Ἀνασκοποῦσιν, ἴσχον εὔλογον σκῆψιν,
Νῦν δ' εὐδίη τε ἤκμαζε, καὶ οὐδὲν σπέρχεν,
Ἐᾷν δ' ἠναγκάζοντο ἀτρεμεῖν μ' ὅσον.
Κἄν τ' οὐκ ἔπαυον ἀθρόας προσβολῆς μοι,
Πυρεκβολίσκοις ἑρκίτας οὐτάζοντες,
Ὡς μὴ ἐνὸν προκύψαι οὔτιν' ἐκ τείχους.
Ὁ ἐκ Κολωρίδων γὰρ ἀσχολῶν πέριξ,
Ἐσπουδακὼς νῦν πρὸς γ' ἐμὴν εὐερκίην,
Τιτρώσκεται κατ' ἦτρον ἕλκος νήκεστον,
Καὶ ὑστεραίᾳ καθανὼν κτερίζεται,
Οὐκ ἀξιόχρεών τι λιπὼν ἐκ βίου,
Τυθὸν διατρίψαντος ἐν διοικήσει.
Οὕτω τὰ Κουσαΐνου ἐξέβη πάλιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ Η'.

Ἄπο σκοποῦ τε κἀτυχῶς πάνυ τῆνες,
Ὡς φῦλα ἐσκίδναντο ἔνθεν βαρβάρων,
Κἀπηλλάγησαν πρῶτον οἱ Μαυρουσίων,
Σφῶν ὀμνύοντες ἥρῳ οὐκ ἐπανήκειν,
Δισσῶς ἐπεὶ ὥρωρον ἡμισευθέντες,
Μὴ τὸ τρίτον σπερχθέντες ἀφανισθῶσι.
Στολαρχέων δ' ὁπποῖος αἴρεται στόλον,
Λελυμένον τε καὶ ἀνάστατον σχεδόν,
Τὰς Κυκλάδας δ' ἥμειβεν Εὐβοίῃ σπεύδων.
Πνεύσαντος ἔμπης λαίλαπος βαρυγδούπου,
Οὐ σύμπας εἰς Εὔβοιαν ἐγκαθωρμίσθη·
Εἰς φρούριον μέντοιγε Ῥῶσον κλημένον,
Ἀχαΐας ῥηγμῖνι νῦν τεταγμένον,
Τριήρεις σκήπτουσιν ἓξ πρὸς αὖ δέκα
Ῥηγνύμεναι, ὡς πάμπαν ἁπλώτους μεῖναι.
Εἰς τοὔπιὸν μεθ' ἅττα ἔμπαλιν Ῥίππας,
Μετ' ἀκριβείας Κυκλάδας μεταστείχων,
Πρὸς δυσσὶν ἠντίαξεν ὁλκάδας δέκα,
Καὶ πέντε τῶν θοῶν τε εἰκοσηρέτμων,
Ἃς Αἰγίνῃ τεινούσας οὖτος σεύεται·
Σκιδναμένων ἀνδρῶν δὲ ἀνὰ τὴν νῆσον,
Πίμπρησι τὰς μὲν τὰς δὲ γ' ἐκπέπομφέ μοι·
Αὗται ἀλείπτως αἰὲν ἐξ Ἐπιδαύρου,
Καὶ Ναυπλίης, Κύδωνι προσκομίζουσαι
Ὅ,τι προσῆκον εἰς ἐνοχλούντων μ' ἄλκαρ.
Ἀλλ' αὖ ἐπάνειμ' ἔνθα οὔ προεξέβην,
Ἀνωτέρω τε τὰς ἀφορμὰς λαβοῦσα.
Ἦν γὰρ λέοντι φροντὶς ἐν Γερουσίῃ,
Οὐ τῆς ἐμοὶ μόνον, ἀλλὰ θατέρων
Νήσων τε ἐξύπερθε τῶν Ἰονίων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ὠχύρου Κόρκυραν ἄλλας τ' ἀγχάθι·
Ἐπιτρέπει δὲ ἀνδρὶ κήδεσθαι τῶνδε,
Τὰ δήρεως μὲν ἴδρει, ὧν οὔπω ἴσμεν,
Παρευδοκιμήσαντι δηΐοις ἔργοις,
Αὐτοκράτορσιν εὖ σεβασθέντ' ἀρχῆθεν,
Ὅπερ Σπεραϊτῆρα θέντο τοὐπίκλην,
Ὁμωνύμου ἕκατι ἧς κώμης ἦρχε,
Φύτλης ἀγαυῆς ὢν μετὰ προπάτορας
Ἐν Γερμανοῖσι τάξιος τῶν βαρώνων,
Οὕσπερ δυνάστας οἶδεν ἡ τῶν Ἑλλήνων γῆρυς·
Τὸν δ' ἄρα Μωκενῖκος ἐξ Ἰονίων,
Ἀθρῶν Κολωρίδῃ με ἠμελημένην,
Μετασταλεὶς συνίστα ᾧ διοικήσεις.
Λαβὼν δ' ὃς ἐγχείρισιν οἰακισμάτων,
Ὅσ' ἐξ ἀταξίης μοι ἦγαγ' εἰς τάξιν,
Ὡς μηκέθ' οἵους δυσμενεῖς ἐπεμπίπτειν·
Οὓς προὐκαλεῖτο συμπλακῆναι πρὸς μάχην,
Αὐτοὶ δὲ γ' ἠνήναντο καὶ παρητοῦντο·
Ἀλλ' ἐξιὼν ἄτιζε πλειστάκις τούσδε,
Ὡς Κουσαΐνον συνταράττεσθαι δεινὰ,
Καὶ ἔσθ' ὅτε γλίχεσθαι αὐτὸν ἠκούσθη,
Ἰδεῖν τὸν ἄνδρα, κἀπόπειραν ποιῆσαι
Τῆς τ' ἀρετῆς τοιοῦδε καὶ νοῦ γενναίου·
Προσίεται δὲ Κουσαΐνου μέρμηραν,
Ἕξεισι δ' αἶψα ἥ ποτ' ἀλκῇ ἠρκέσθη,
Καὶ ἥ ποτ' ἴσχειν οἷος ἐν καιρῷ τῷδε,
Τάξεις δὲ πεζῶν ἱππικῶν τε συντάξας,
Αὐτὸν μὲν ἠρέθιζεν ἐλθεῖν ἐς μάχην,
Ὁ δ' αὖ παρητεῖτο εὐλαβούμενος τάχα
Τὴν ἀνδρὸς ἐντρέχειαν ἠδ' ἀριστείην,
Κἂν ἡ πρόκλησις ἐν προπηλακισμοῖσι.
Καὶ ταῦτα ῥητὰ γίγνεται λέοντί μοι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς ἔκ τε τῶνδε ἀκριβέστερον γνῶναι
Τὴν Ὀτμάνων δύναμιν ἠτοντκυῖαν,
Σαφῆ τε τὴν ἔκλυσιν ἀθρόου κράτους·
Ξυμφράζεται δὲ αὖθις ἐν Γερουσίῃ,
Τί πρακτέον τοιᾷδε ἐν καταστάσει·
Καὶ Νικόλαος, οἰκίας Κονταρήνων,
Μίμνησκε συμφέροντα, ὡς εὐηγόρος·
Ἐγὼ δ' ἐπείπερ ἀνδρὸς ἐμνήσθην τοῦδε,
Εἶπω κατ' ἀξίην μέν, ἀλλ' ὅσον σθένος
Καὶ ὅσον ἐνδιδοῖ τε καιρὸς ἀρμόττων·
Οὗτος σταλεὶς ἔπαρχος ὡς ἔθος μέγας
Πρὸ τῶνδε δεινῶν εἰς ἐμὴν προμηθείην,
Ἐδείκνυ πάντῃ οἷος ἐν διοικήσει,
Ὡς σωφρονοῦντας συγκρατεῖν ἐμοὺς παῖδας·
Τοσοῦτον ἦν δ' εὔγλωττος, εἰδὼς ἀρχαῖα,
Ὡς ἀΐοντας συνδοκεῖν γοητεύειν,
Καθῆστο γὰρ χείλεσσι Κύπρις γλυκεῖα,
Καὶ εἴτι πως φάτιζε, κέκριται δόγμα·
Σέβας δ' ἐγὼ μίν, αὐτὸς ἠγάσθη δέ με,
Ὡς ποτνιᾶσθαι ταμίας ἥκειν στόλου,
Ἐξιλεώσων τυχὸν ἣν ἠγασμένην·
Μίμνησκε γοῦν λέοντι ἐν Γερουσίῃ,
Ἐπὰν παλινδρόμησε χαρίεις πάτρῃ,
Ὃ ξυμφέροιεν, οὐχ' ὅ,τ' εἰς ἄμυνάν μοι,
Ἀλλ' εἴτ' ἀνῆκον εἰς ἀνάκτησιν νήσου.
Δημηγορεῖ δ' ἄριστα ἐν ῥεκτηρίοις·
Ἀλλ' ἀμφέρειν μὲν ὅσα ὃς διεξήει,
Γλαφυρότητι ποικιλημάτων λόγου,
Τῶν δυσχερῶν τε καὶ ἀμηχάνων πάνυ·
Γλωσσῶν σοφῶν γὰρ δυσχερὲς λαβεῖν δάνος,
Μὴ πρωτοτύπου ἐκμιμουμένους ῥήσεις·
Συνίσχεν οὐκοῦν τοῦτ' ἔντεχνος λόγος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς μὴ ἅπαντ' εἴποιμι ἀξιωμάτων.
« Χρυσοῖο δαψίλεια ἐκκεχυμένη,
» Τοσατίοις ἔτεσι δαπανημένου,
» Ἢ εἰν ἑνὶ προὐχεῖτο δυσσὶ πρωτίστοις,
» Στρατοῦ ἕκατι ἀρκίου προμηθείης,
» Τοῦδ' ἄχρι νῆσος ἦν κακῶν λελυμένη,
» Ἡμεῖς μόθου τε ἦμεν ἂν γαληναῖοι.
» Ἐπεὶ δὲ πέφραστο τουτὶ ἀρχῆθεν,
» Νῦν συμπάρεστι καιρὸς ἐς σκέψιν κρείττω·
» Ἀναρσίους γὰρ ἴσμεν ἡμισευθέντας
» Εἰς εἰσβολὰς τοσαύτας, ἦρι ῥυέντι.
» Πρὸ γοῦν στρατείαν ἀρτύσαι Ὀτμανίδας
» Ἐς δευτέραν ἔλασιν εἰσβολῆς νέας,
» Στρατοῦ κινηθμὸς ἀρκίου προληπτέος,
» Τῆς σφῶν καταρτύσιος ἡμῖν πρωΐου.
» Ὡς οὐχ ὅτ' ἀπρόσμαχον ἕξομεν πόλιν,
» Ἀλλ' ἀσφαλῶς ῥυθεῖσαν ἔμμοχθον νῆσον. »
Βουλὴ λέοντι ἤνδαν' ἐν Γερουσίῃ,
Καὶ ἠντύνοντο ἐκτελεῖν συμφραδμένα,
Καὶ μᾶλλον εἴπερ ἐκ συχνῶν πεπίστευνται,
Ἔτ' εὐσεβοῦντας πρός με πάντῃ κωμήτας.
Σπουδὴν ὅσην ἔθεντο εἰς ἐμὴν λύσιν.
Μαρῖνος εἴπερ οἰκίας Σαγγυνάκων,
Εὐπατρίδης γεγώς τε λῃστῆς Ῥιθύμνης,
Πλεύσας πολιτείαζεν, ὡς τάχους εἶχεν,
Εὔχρηστα εἰσηγεῖτο ἐν Γερουσίῃ,
Ὡς εὐσέβεια οὐ πέπαυται κωμήτας,
Ἔννοια θ' ἡ ἀρχαία πρὸς πολιτείην·
Καὶ ἢν ἂν ἐξόρμησις ὁπλιτῶν ἄν που
Γίγνοιτο νήσου, βαρβάρους δηωσόντων,
Ἴδοισαν ἑνωθέντας αὐτοὺς κωμήτας,
Καὶ νῆσον εὐχερῶς τε αὖ ἐλευθέραν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ γὰρ φέρειν οἷοί τε τύραννον ζεύγλην,
Σεβάσμια βλέποντες ἐκφαυλισθέντα,
Καὶ λέκτρων ἀλόχων τε ἐξυβρισμένων·
Ὧν Λευκιεῖς μᾶλλόν τι μεμψιμοιροῦντο,
Θαρραλεώτεροί τε κωμητῶν ἄλλων,
Ὡς γραμμάτων ἔνδειγμα ἐνδέδεχ' ἔτι·
Σύγκλητος οὐκοῦν πᾶσα συμπαρωτρύνθη·
Θωμᾶν δὲ γ' ἐγκρίνουσιν ἐξ Οὐηρώνης,
Γένους φαεινοῦ, οἰκίας Πομπηΐων,
Παρευδοκιμήσαντα δικίοις ἔργοις,
Ὃ συγκεκοινώκηκαν ὅσα ἐπεφράσθη,
Προεκθέσεσσι πινυταῖς Κονταρήνου·
Ποσὸν δ' ἐπυνθάνοντο τῆσδ' ἐκστρατείης,
Ἑξάκις ὡσεὶ χιλίους ἐκ Πρυλέων,
Καὶ ἱππέων θ' ἑκατὸν ἑξάκις πάλιν,
Αὔταρκες εἶναι εἰς ἀνάκτησιν νήσου,
Καὶ συμπέραινον τῇ δοκῷ ἰσοψήφως·
Πρὸς τοῖσδε συμβάλλοντες εὕνουν ἐγχώρων,
Οὓς ξυμμάχους σκέπτοντο, ὡς πίστεις ἔσχον.
Πρὸς τοῖσδ' ἐθάρρουν ἐντρεχηΐῃ Ῥίππα,
Ἐκ Βοσπόρου ὁρμῶντα συμφράττειν πάλιν
Στόλον μέγαν περ ἢ περᾶν λωβηθέντα.
Οὓς δ' ὧδε σημαίνοντας ἀλητήρων ἄνευ,
Ὡς εὐμαρῶς διῶχθαι, ὁππόσοι εἶεν·
Ἐν ᾧ δὴ ἔνθα πραγματεύεται τάδε,
Γεώργιός μοι οἰκίας Κορνηλίων,
Μάρκος τε ταξίαρχος ἐκ Σινωβίκων,
Ἀπηλλαγησαν ἔνθεν ἐκπροκληθέντες
Γερουσίηθεν, ἀνταμείψιος χάριν·
Καὶ δεξιούσθην ἄνδρε ἐντίμως μάλα·
Ἐπεὶ ὁ μὲν τἀγαθὰ κοινῷ εἰκάθει,
Ὁ δ' αὖ ἐπεὶ τρανοῦτο τῷ ὑμᾶς πεῖδας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔλασμα χρυσοῦ ἀνδρὶ προσχορηγῆσαι,
Ἐν ᾧ κατέγραψαν μὲν ἐκδικηθεῖσαν
Αὐτὴν πόλιν με τῆς λύμης Ὀτμανίδων.
Κώμην δ' ἀνηγόρευον εἷς που Ἰστρίης,
Ὡς ἂν τὸ κοινὸν μὴ ἐλαττοῦσθαι δόξῃ
Τῶν ἐν μέρει μὲν εἰς ἀμοιβὴν εὐέρκτου.
Κορνήλιον δ' ἀξιοῦσιν ἱππέων
Ἐμῶν προόπτην, τῆς σεβαστῆς ἀξίης,
Ἣ οὐκ ἔθος δίδοσθαι εἰμὴ γενναίοις,
Καὶ εὖ διατρίψασιν ἐν πολιτείῃ·
Ὡς δ' ἂν διευθετοῖτο συμπεφραδμένα,
Προστάτας ἐγκρίνουσιν, ἔν τ' ἀρηΐοις
Ἀσκουμένοις μέν, κἀτρόμητον δεικνῦντας,
Οἷς Μαυροκῆνον τὸν προόπτην μοι στόλου,
Γεώργιον ψήφιζον ἀνθύπατόν μοι,
Ἀντωνίου ἄνανδρον ἐκ Λιππομάνων,
Δι' ὃν μοι οὔτις ἐκπεφώνηται λόγος,
Κἂν ἀξιόμνηστός τις ἐκ σεβασμίων.
Ἦν γὰρ ταλάντου ἰσομοιρία δίκης,
Ὠθούμενος καλοῦ μὲν ἐκ συνειδότος,
Ὡς καὶ πρὸς εὐσέβειαν ἐξηρτημένος,
Εὐχαῖς σχολάζων ἐς δυσώπησιν θείου,
Ἀλλ' ὅσσ' ἐμητιᾶτο εἰς ὄνειάρ μοι,
Οὐκ ἠτρανοῦτο, εἵνεκεν παρουσίης
Φαιδροῦ στολάρχου πάντα συσκιαζούσης,
Φωστῆρσιν ὡς ἔγνωτο ταὐτὸ συμβαίνειν,
Ἢ ὡς κανὼν πεφαύσκει ἔκ συνηθείης,
« Μείζων ὅπου πρόσεστιν, ἀπρακτεῖ μείων. »
Ἐν τοῖσι Κουσαΐνος εὖ διεσκόπει,
Οὐκ ἀσφαλῆ ἔτ' εἶναι εἰς ὄψιν πέδου.
Ἐπεῖδε γάρ κεν ἄλκαρ ἐκ Βυζαντίδος,
Μὴ οἷον ἴσχειν χαλεπώτερα πράξων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Προποντίδος μὲν ἀκριβῶς τηρουμένης·
Ἰλιγγιᾷ δὲ πλεῖστα τί χρεὼν πράττειν,
Αἴρειν ἢ ἐς Κύδωνα ἠσφαλισμένος,
Ἢ ἐς πέδον μὲν κατθανεῖν ταλαιπώρως.
Βουλεύεται δ' ἔπαλξιν ἔμφρουρον τεῦξαι
Τῆς Ἀβρύσου ὕπερθεν, εὐρείας κώμης,
Οὗ σκηνὰς ἴσχεν, καὶ στρατοῦ καρφύρας.
Πρώτιστα δ' αἴρει μαχεῶνας τοὺς πέριξ,
Ἐξ ὧν μ' ἔπληττε καὶ κακῶς πεποιήκει,
Μάλιστα πορθμευούσας εὐρὺν λιμένα
Τῶν ὁλκάδων πρόσπταιε μὴ φέρειν ἔδαρ.
Ἀρθεῖσα δ' αὐτὴ καὶ νεοχμοῦ ἐκστᾶσα,
Κώμης ἀθρῶ ὕπερθεν ἀσχολουμένους,
Οἳ ὠχύρουν τε κἀμφιτείχιζον λόφον.
Καὶ ταῦτα, ὡς φαίνοιτο δρᾶν ὀχληρά μοι,
Ἢ μᾶλλον ὡς ἥκοντας ἴσχῃ κωμήτας·
Ἀντωχύρου λαιψηρά, καὶ μίμνησκέ τε
Γράμμασιν αὖ στόλαρχον ἀγερωχίῃ,
Ἐμὲ προδοῦναι, ἢ ἔσω κατασκήπτων
Φείσασθαι οὐθενός τε ἄχρι νηπίων,
Ἢ εἰς νέαν μένοντα τήνδε τὴν πόλιν
Ἀεὶ τ' ἐνοχλεῖν, κἂν ἔτη ῥυῇ πλείω,
Ἐπικρατεῖν δ' ἄσπονδον εἰς δηρὸν μάχην,
Ὡς ταμιεῖον ἐκκενωθῇ κἂν μέγα,
Καὶ ἄλλα, ὡς ἔθισμα τοῖς ἀλαζόνοις.
Ἀλλ' οὐ μέμηλε Μωκενίκῳ ὧν πέρι,
Ἐντέλλεται δὲ τοῖσδ' ὑπαντᾷν βαρβάρῳ·
« Ἥττησαι αἰσχρῶς καὶ ἀναίνῃ τὴν ἧτταν,
» Τῶν τῇδ' ἀπέστης, καὶ ἀπειλεῖς ἐνσκήπτειν,
» Καὶ γαυριᾷ δὴ οἷς σ' ἐχρῆν ταπεινοῦσθαι,
» Ἔνδειγμα δῆλον τουτὶ τῆς σῆς ἐκνοίης.
» Αὐχῇ δ' ὀχυρώμασιν, οἷς μάτην τεύχεις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Ἔτη διατρίβειν τε ἀσπόνδῳ μάχῃ,
» Κἀνοχλέειν μοι συστατουμένην πόλιν·
» Ἀλλ' ἴσθι ὡς οὐ ταῦτα οὔτε τοι Κύδων,
» Ἦν δυσμάχητον ἐγκαθίστασθαι οἴῃ,
» Αὐτὸν σαῶσαι οἷα, ἀλλ' ὅσῳ σθένει
» Ἐγὼ διώξω ἄχρι τερμάτων νήσου·
» Ὃ φὴς δὲ ταμεῖον ἐκκενῶσθαί σοι,
» Ὑπήκοον κἀφνειὸν οἴου καὶ εὔνουν,
» Οἷόν τ' ἀναπληροῦν μὲν ἅπλητ' εἰς ἔτη,
» Ἐπικρατεῖν δὲ δῆριν αὖ πάλιν τόσα. »
Ὡς Μωκενῖκος μειζόνως παροξυνθεὶς
Τὰ Κουσαίνου βούλεται ἀνατρέπειν,
Κἀνεψιὸν πεπόμφει, ὃν γεννᾷ κάσις,
Ὁμώνυμον τούτου τε καὐτῆς οἰκίας,
Τριήρεας δ' ὤπαζε τῷδ' ὀκτὼ μόνας,
Καὶ διττὰς αἷς ἐφίστα πεντηκοντόρων,
Ὡς ἐκ πελάγους πορσύνοντας ἐγκόπτῃ
Φόρους ἐδωδῶν, οἷα οὗτος ἐκ γένης·
Ὃς ἔσπεται πάτρωι νηΐοις ἔργοις,
Ἀμοιβαδόν τε εὐδοκίμει ἐκ νέων.
Ἀφοῦ δὲ ταῦτα, καὶ μάχη εἴνεγκαί μοι,
Πρύτανις ἠξιοῦτο πεντηκοντόρου.
Καιροῦ δὲ συμπεσόντος, αὖτε Φραγκίσκος
Στόλαρχος ἀμφέκλυζε Κυκλάδας νήσους,
Εἰς νῆε εἰσέβαλλεν, ὧν ἴσμεν κοῖλε,
Αἰπεῖε θ' ἃ Κύδωνι τεινέτην πρῶρε.
Μιᾶς διαδράσης δέ, θατέραν αἴρει,
Στόλαρχος ἣν δέδεκτο λαφύρων πλήρη.
Ἀνὴρ τιέσκετ' ἔνθεν ἐκ πολιτείης,
Πρόμος τεταγμένος δὲ πεντηκοντόρων.
Εἶτα προόπτου βάντος εἰς ὕπατόν μοι,
Οὗτος προόπτης ἐγκαθίσταται στόλου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἴχνη διώκων ἀνδρὸς εἰς βαθμοῦ αὔξην·
Στόλαρχος οὖν πάτρως τε αὐτὸν ἐκπέμπει
Πληροῦντ' ἐφετμήν, ὡς ἔφην προμνησθεῖσα.
Ἦσαν δὲ λοιπαὶ ὧν ἐπίμπρει ὁλκάδων
Ῥίππας ἰχνηλατεύσας Αἰγίνης νήσῳ,
Μετρούμεναι μὲν δὶς δέκα πρὸς δυσσί τε,
Ἐλλιμένιζον δ' αἰὲν εἰς Ἐπιδαύρου,
Κύδωνι πορθμεύουσαι ἔνθεν χρειώδη.
Καὶ Μωκενῖκος, ὢν πάτρωι πευστός τις,
Ἐκ διακτόρων πεύθεται τὰ ὁλκάδων,
Καπῆρε τοῖς ταχθεῖσιν εἰς Ἐπιδαύρου,
Καὶ στὰς ἔναντι συγχέει πυρεκβόλοις,
Ὡς τοὺς ἐνοίκους συνδοκεῖ κεραυνοῦσθαι·
Ζητοῦσι δ' ἀμύνασθαι ἔνθεν τοῖς ἴσοις,
Εἴργουσι οὐδαμῶς δὲ ὁρμὴν τοιάνδε·
Αὐτὸς γὰρ εἰσβὰς ὅρμον ἀτρόμητός τις,
Κἂν ἐμπόρων ἄνευθεν ὁλκάδας αἴρει·
Ἐξῆς γέφυραν, χερρονήσῳ ἀρθρῶσαν
Σκοπὴν πλατεῖαν, ἧς ἐφίδρυται πόλις,
Ῥήξας κατηδάφιζεν ἄχρ' ὑρ' ὑδάτων.
Πομπῇ δὲ ἥκει πρός με ὁλκάδας ἄγων,
Κἀνεψιοῦ στόλαρχος ἔργον ἠγάσθη.
Μεθ' ἡμέρας δ' οὐ πλείστας ἵκανον νῆες
Ἄλκαρ φέρουσαι, οἷα ἦν συμφραδμένον,
Θωμᾶς ἐφ' αἷς ὠχεῖτο, ἐκ Πομπηίων·
Ἥκων δ' ἐδεξιοῦτο πομπῇ ἐντίμῳ·
Μάρκον τε ναστήσαντα ἐκ Σινωβίκων,
Ἐγὼ δέδεγμαι, οἷα γνήσιον παῖδα,
Ἡσπαζόμην τε, ὡς χρεών, φιλοφρόνως.
Μεθ' οὓς Γεώργιός τε ἐκ Κορνηλίων,
Δέδεκτο καὐτὸς, ὡς προόπτης ἱππέων,
Σεβασμιάσας ὡς χρεὼν τοῖς ἐν τέλει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς τἀμὰ εὐθετεῖτο βελτίῳ τύχῃ,
Ἔργων θαλαττίων μὲν εὖ συμπραττόντων·
Ῥίππας γὰρ ἐν δέοντι ἥκων οὖ τάχθη,
Μετασταλείσας ἔσχεν ἓξ τριήρεας
Πρὸς δυσσί, καὶ διττάς τε πεντηκοντόρων,
Τριῶν δ' ἐπῆρχε τῶν δεκάδων ἐκ κοίλων,
Ὡς ἀντέχειν δύνοιτο ὁρμῇ παντοίᾳ,
Ἐκ Βοσπόρου μολοῦντος ὁποίου στόλου,
Καὶ μὴ πρὸς ἔργα προσβιάζεσθαι πάλιν
Τῶν μέχρι τοῦ πρὸ τοῦδε συμβάντων ἔτους.
Τοιᾷδ' ἀερθεὶς Μωκενῖκος ἐλπωρῇ,
Ἀνεψιὸν πρῦπεμπεν εἰς κενὴν ἄγραν·
Ὃς δὴ ἀπαίρων τῇ δυναστείᾳ πρώην,
Ἐν προθέσει τριῶν τε ἐκ νηῶν κοίλων,
Ἣν δηθύνων ὕπερθεν ἄκρου Κυάμου,
Ἐξιχνιάζων δυσμενῶν περαιώσεις.
Ἔνταλμα δ' ἦν πάτρωος ἐλθεῖν αὐτόθι,
Καὐτὴν πολίχνην βούλεται πορθουμένην,
Τὴν Κισάμου ἀρχῆθεν οὕτω κληθεῖσαν,
Ἐς ἑσπέριον μοῖραν ἄκρου κειμένην·
Πρὸς ὃν σκοπὸν προὔτεινε κλίμακας μείζους,
Καὶ ὅσσα εἰς πόρθησιν ἦν ἀναγκαῖα·
Ἐπεὶ δ' ὃς ἐχρόνιζε δηρὸν αὐτόθι,
Πάτρως μὲν ᾤετ' ἦν σκοποῦ παρεκτράπη,
Ἰδεῖν παλινδήνητον ἠντέλθη τόνδε.
Ἀτὰρ κομιστὴς γραμμάτων ἀπειργμένος,
Σφοδροῦ ζεφύρου μὴ πρόσω προσχωροῦντος,
Χρόνιζε δὴ ῥηγμῖνι Ἀττάλου ὅρμου,
Πρὸ Παντοματρίοιο ἔρκων κειμένου·
Ἐπεὶ δ' ὃς ἠδέσθη μὲν οἰέων ἄγρα,
Τρίηρον ἐμπίπλησιν ὧν φέρειν ἴσχε·
Παλινδρομεῖ δ' ἄτακτος εἰς Δῖαν νῆσον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς ἂν λαθὼν στόλαρχον αὖ τροπιάσῃ.
Ἀλλ' οὐκ ἔλαθεν ἐντρέχειαν παντόπτου,
Σφαλεὶς σκοποῦ τε ἐντολῆς τε οἰέων·
Σταλεὶς γὰρ Ἰάκωβος ἐκ Λαυρηδάνων,
Ὡς ἂν σκοπείη ἔνθεν εἰ νηῶν φάσις,
Αὐτῇ τριήρει συνδέων κατὰ πρύμνην,
Ἄγει τρίηρον σὺν κομιστῇ γραμμάτων,
Εἰς ὃν βλέπων στόλαρχος, ἐγκότως τ' ἔχων,
Διησφάλιζεν ἢ στρατηγίδ' ἀλύσει,
Ἐπεὶ τόδ' ἔργον ᾤετ' εἶναι ζημίην,
Ὃ ξύμφορον μάλιστα ἄλλως ἐξέβη,
Θείου προνοίης συγκατεργασαμένης.
Ἐν ἀμβολῇ γὰρ τῇδε ἄλλα μὲν πάτρως,
Ἀνεψιὸς δὲ ἄλλα μερμέριζέ πως,
Ἐσκέπτεσθ' ὅττι πάντ' ἀνατετραμμένα,
Ὡς ζηλότυπα καὶ ὕποπτά τε σφόδρα·
Στρατηγὰς εἴπερ ἐκ Κύδωνος φωραθείς,
Εὖ ὠχύρου πάνθ' ὡς ἀμύνασθαι μέλλων·
Ὅθεν Κυσάμου ἄρσιν ἀμβολῇ θέτο·
Βουλεύεται δ' ὡς τοῖς προσοῦσι κοινῶσι,
« Πρώτη ἀναρσίοισιν ἡ Θεουδωρῶ
» Σκοπὴ πεπόρθηταί τε καὶ ἠδαφίσθη,
» Ἔπειτα λοιπῶν ἐγκρατεῖς δεδείχατε.
» Ἡμῖν δ' ἐέλδωρ ἐργμάτων ἦν ἐνταῦθα
» Πρῶτον Θεουδωρώ τε ἐκπορθητέα,
» Κἄπειτα Κύσαμός τε εὐχείρωτός τις·
» Σκόλωψ πρὸ ὀμμάτων γὰρ αὐτοῖς ἐσσεῖται,
» Ὡς νωθρίᾳν ἄμυναν ἔρδειν ἧχί περ·
Ἦν δὲ πρόβλημα χαλεπὸν βουλῇ πάσῃ,
Καὶ ἀμφίλεκτοι αἱ περὶ γνώμας ἔρεις.
« Νημερτὲς εἴπερ τὴν σκοπὴν πορθηθῆναι,
» Ἀλλ' ἐν στρατῷ παμπληθεῖ ἁπλέτου στόλου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Διαφθορᾷ τε, μυρίων πορθουμένων.
» Ἡμᾶς δ' οὐχ ὅθ' ἡμισεύειν μὴ κείνων,
» Οὐ σύγκρισις δὲ τοῖςδ' ἀποτριτωμένοις.
« Οὐκοῦν τόδ' ἔργον οὐδόλως τολμητέον. »
'Αλλ' ὃς διϊσχύριζεν αὖ τοὐναντίον·
« Νομίζεται μὲν πολλὰ τῶν ἀδυνάτων,
» Ἃ πειράσαι τις οὐ τετόλμηκε πρῶτον,
» Καὶ πειραθέντα κέκριται οὐ τοιάδε·
» Καὶ ὡς τὰ πολλὰ ἐν μάχαις θρασὺς τόλμη,
» Ἐξῆς προμήθειά τις ᾠῖσθη πᾶσι·
» Τύχης γὰρ εὐμένεια οὐ τοῖς ἀνδρείοις,
« 'Αλλ' αὐθαδεστέροισιν ἐκτείνει χεῖρας. »
Οὕτω φατίζων Μωκενῖκος ἐν βουλῇ,
Κάτεισι σὺν κοινῶσι Κυάμου ἄκρου,
Καὶ πρώϊος πρόσεισι τῆς σκοπῆς ὕπο,
Οὗ ἐκβίβαζεν ὁπλίτας Ἰλλυρίων,
Καὶ Γαλάτας τε, οὓς μικρὸς δέκτο στόλος,
Ἐπιστατεῖν δὲ τοῖςδε προὔβαλε Φλῶρον,
Ἐπιστάτιον πρῶτα ὄντα ἐν στόλῳ·
Ὃς δὴ ἄγων στράτευμα δυσσὶ φρουρίοις,
Τὸ ἐν λόφῳ ἱδρυνθὲν εἰσβάλλει πρῶτον,
Ὃ Τρουλορὸν νεωστὶ εἴωθε κλύειν·
Οὕτω δὲ προσπέλαζεν, ὡς τοὺς φρουροῦντας
Ἐκ τειχέων μὴ οἷον οὐδαμῇ κῦψαι,
Πυρεκβολίσκων προσβολῶν Ἰλλυρίων.
Ἐπαρτύει δὲ Φλῶρος ἄκρας κλιμάκων,
Καὶ Γάλλοι εἰσπηδῶσι πημονῆς ἄνευ,
Κἂν δυσμενεῖς πειρῶντο καββαλεῖν φρούδους·
'Αλλ' ἀρχιτέκτων πυρτεχνῶν Βελωνήτης,
Ἐπαρτύει πίθαρδον, οὕτω σφῶν γήρει
Κεκλημένον, καββαλὼν πύλην·
Ἦν δὲ ξιφήρης Μωκενῖκος θαρσύνων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοὺς ὁπλίτας εἴσδυσιν εἰσποιουμένους,
Καὶ ἐγκρατὴς δέδεικτο ῥᾷστα φρουρίου.
Πέμπει δὲ λοιποὺς αἰχμαλώτους ἐς στόλον
Ἐκ κατθανόντων συμβολῇ οἰκτρᾷ τῇδε·
Τρέπει πυρεκβόλους δὲ εἰς Θεουδωρὼ
Δίνι σκοπῆς ἱδρυνθὲν ἄλλο φρουρίοιν,
Ἥτει δὲ ῥήτρᾳ τουτὶ ἢ ἐκπορθῆσαι,
Ἀλλ' οἵδε προὐδίδοντο δειματωθέντες.
Καὶ Μωκενῖκος εὔχεται τροπαιοῦχος,
Τρανοῖ δ' ἑοῖς γράμμασι πάτρωϊ τάδε·
Λαβὼν δ' ὃς εἰς Ὄλυμπον ἐκπετᾷ χεῖρας,
Καὶ ἐντείνων ἄμβαινεν εἰς στρατηγίδα,
Καὶ πρὸς Θεουδωρὼ δὲ ἰθύνει πρώραν,
Ἣν ὠχύρου κράτιστα εὐθὺς ἱκάνων,
Αὐτὴν σκοπὴν φρουρά τε μέχρι ῥηγμίνων.
Ἐν τοῖσιν ἱκάνουσιν ἓξ τριήρεων,
Τεταγμέναι δὴ ἐκ κροκάλων Δαλμάτων,
Ἄγουσ' ἑκάστη τριακόνταρον μίαν,
Ἃς θωρακισμένας τε κικλήσκειν ἔθος,
Περιτταὶ ἐνδείξεσσιν οὖσαι Φωσκόλου,
Δουλοῦν φθάσαντος τὰ πλέω ἐπαρχίης·
Καὶ ἓξ Μελιτῶν ἐχθροτουρκοζαγρέων,
Ἔτος καθ' ἓν προσοῦσαι εἰς ἄμυνάν μοι,
Ξὺν πέντε ἄκρου ἀρχιποίμενος Ῥώμης.
Λειπὼν ἄρ' αὐτοῦ τρεῖς μόνας νηῶν κοίλων,
Καὶ τριακοντόρους τε τῶν ὠκυδρόμων,
Πορθμοὺς διασπασούσας ἔνθ' Ἐπιδαύρου,
Αἴρει στόλον πρόπαντα εἰς Μῆλον πλεύσας,
Ὅποι πέπυστο αὖθις ἐκ διακτόρων,
Ὡς αἱρέσιος νησίδος φημισθείσης,
Βέεις, ἀποστολῆας οὓς ὡς σὺ κρεῖττον
Μὴ βαρβαρίζων καλέσειας ὧν Ἕλλην,

ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡ. ΥΠΟΥΡΓΕΙΟΝ ΠΑΙΔΕΙΑΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πορθμὸν Κύδωνος μηκέτι ζητεῖν ἄρτι,
Πτοουμένους ὅρμησιν ἀγχοῦ προσφῦσαν.
Ἑκὰς δὲ Μωκενῖκον ἀκριβῶς γνῶντες,
Ἐμοῦ κατ' ὄψιν, εἰς Παλαίκαστρον βαῖνον,
Οἳ τοὐπίπαν μὲν ἦσαν ὀκτὼ πρὸς δέκα·
Ἔκβαινε δὲ στρατηγὸς ἔνθεν σπουδαίως,
Ἥνεγκαν ὅνπερ ἀντ' Ἀσάνου τοῦ πάνυ.
Ὃν Ἰμβραΐμου πρωϊαίτερος κάσις,
Μόνος τὰ πάντα βασιλείας ἰσχάνων,
Μετ' Ὀτμάνον κτανθέντα, πρώτιστον κάσιν,
Εἰς Βαβυλῶνος δευτέραν ἦγε κτῆσιν·
Καὶ δὴ ἀγασθεὶς εὐδοκίμει κοιράνῳ
Ἐπ' ἀρετῇ παιδείας ἐν στρατηγέταις·
Ἐπεὶ δ' ἐπεκράτησεν ἔργων Μουράτης,
Νοστεῖ δ' ἀνακτόροισι προσπαίως θνήσκων,
Ζητεῖ διαδέξοντα τὴν βασιλείαν,
Καὶ ἠγανάκτει ὧδε κηραίνων ἅπαις·
Ἀγγέλλεται δ' οἱ συμβιοῦν ἄλλον κάσιν
Πρὸς δυσσὶ λοιπόν, οὓς διώκων ἠγχόνει,
Τῇ μητρὶ σωστρείᾳ τε ἐγκαλυφθέντα·
Κἀνηγόρευται Ἰμβραΐμος βασιλεύς·
Βουλεύεται δ' ὃς καινὰ ἐνδύσθαι ἔργων,
Καθάπτεταί τε μειζόνων τολμημάτων,
Ἃ γ' εὐλαβοῦντο καὶ θρασεῖς περ ἀρχαῖοι·
Καὶ μερμέριζ' ἔμοιγε τὴν σκευωρίην,
Ὡς τὰ κράτους μὲν ἀσφαλέστερα οἰηθείς,
Ζητεῖ τ' εἰς ἐκπόρθησιν αὐτὸν Ἀσᾶνον,
Ὡς εὐδοκιμήσαντα πρὸς Βαβυλῶνα,
Καὶ δηΐαισι μηχαναῖς θαυμασθέντα·
Ὃν ἐγκαθίστα Θρηΐκων ἐπὶ στίφη,
Ὡς χιλιάδων ὀκτὼ ὄντων πρὸς δέκα,
Ὑπέρτιμον στρατηγὸν ἐγκοσμιῶν ἄνδρα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ δευτερεύειν Κουσαΐνου παρέδρου.
Καί μοι διϊτχύριζον ὡς τεχνάσματα,
Καὐτὸν πυρεκβόλου τε, οἷσιν ἐχρῆτο
Πρὸς Βαβυλωνίους τε, ἄξαι καὶ πρός με·
Καὶ ἦν πυρεκβόλος μὲν, ὧν ἴσμεν μέγας,
Ὅνπερ κάλυπτε σηρικῷ καλυπτῆρι,
Καί φασι προσκύψαντα κῦσ' ἐπειπεῖν τε·
« Αὐτὸς κλέος μοι Βαβυλῶνα πορθοῦντι,
» Νῦν ἔλπομαί σε μὴ ἁμαρτῆσαι πάλιν. «
Καὶ ἄλλα ὅσσα ἀφραδέσσιν ὀττίαι
Τύχης ἀθύρματ' ἐνδιδοῦσι καψύχοις.
Ἐπεὶ δ' ὅπως δὴ ἄστυ Ῥιθύμνης αἵρει
Ἐν ξυμβάσεσι καὶ ἐρείσματ' οὐ πλείστῳ,
Πυρεκβόλον τῆδ' ἦγε ταὐτὰ σκεφθείς μοι,
Πλήττει δέ με κράτιστα ἀρτίῳ ἔτει,
Ἦμος διερρήγνυτο θραυσθεὶς ἐν μέσῳ,
Καὐτὸς παλινδίνητος οἰωνισμοῖσι
Τουτὶ πρόφαντον οὖ πότμου τόπαζέ πως·
Ὁ δ' ἀλόγως τόπαζεν, ὄντως ἐξέβη·
Οὐ δηθύνων γὰρ συμβολῆς κροτηθείσης,
Τιτρώσκεται νήκεστα ἐκ πυρεκβόλου,
Συνίπταταί τε πυρπολουμένῃ σφαίρᾳ·
Ὄχλος συνετρώθη δὲ ἄλγε' ἀτλήτῳ,
Κτέριζον ἐντίμως τε, οἷα εὐέρκτην.
Ἄνταν δρον οὖν τοιοῦδε ἤνεγκαν βέεις,
Ὃς ἐξέβαινεν ἅμμιγα ξὺν φατρίῃ
Ἀγωνίῃ τε, ὡς ἔφην καὶ σπουδαίως.
Ὁ γάρ κε Μαυροκῆνος ἀνθύπατός μοι,
Ὧν τημελὴς τὰ πάντα ἄρτι δ' οὐχ ἧττον,
Διττὰς κατ' αὐτῶν προσβίαζε ναῦς κοίλας,
Ἐλλιμενιζούσας μοι ἐκτὸς λιμένος,
Μαρῖναν αἷς ἐφίστα ἐκ Βαδουάρων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀρίστου ὧν ἂν ἴσμεν ἄλλων συγκλήτου·
Ὃς δὴ ἀπαίρων πρὸς Παλαίκαστρον τείνει,
Κἄν τε ζέφυρος ἀντέπραττε ῥαγδαίως·
Κἀποστολῆες αἱρετίζοντες κρείττω,
Κατὰ ζεφύρου ἠρέτμουν ἀνὰ κράτος,
Δῖον περῶντες ἄκρον ἐγκόνως μάλα.
Αἰσθεὶς δὴ Μωκενῖκος ἐκ Μήλου αἴρει,
Κἀντέλλεται τὴν πρός με πρυμνήτῃ τέμνειν,
Ἀποστολῆας ἐντρεχείᾳ ἰχνεύων·
Ἀλλ' ὅς γε Δῖον ᾤετ' Ἀττάλου ὄρη,
Κατήντα δ' ἐς Πάνορμον ἠπατημένος.
Ἐμήνιε στόλαρχος ἡμαρτηκότι,
Αἴσχιστα ὅνπερ βούλεται ἀναρτᾶσθαι,
Μετατρέπων δὲ δόγμα αἰσχρὸν ἀγχόνης,
Ἐρύεται μέν, ἀλλ' ἀπόβλητον πέμπει,
Κατακρίνει δὲ χιλίοις ἀργυρίων.
Ἀλλ' εἰ στόλαρχος ἠπάτηται πρυμνήτου,
Αὐτή τε ἠπάτημαι ἀθροῦσα στόλον
Νήσου ὕπερθεν ἐξυπερβάντα Δίας,
Ἑῳΐαν τείναντα χερσόνησόν δε,
Οὗ ᾠόμην ἱκέσθαι ὡς ἐπαρκέσων
Τοῖς ἀσχολουμένοισι καιναπραξίαις,
Εἰς ἐκκάλυψιν οὗ ὀλώλεκαν φάους.
Καὶ ταῦτ' ἀφορμὰς ἔσχεν ἀρχῇ ταιάδε·
Καινὴ γὰρ ἦν ἔνστασις Ἰραπυτίων,
Ὁμοῦ τε τῶν ἔγγιστα χερσονησίων,
Πρὸς ἀνθύπατον ἐργμάτων νεωτέρων,
Καὶ Ἀνδρέαν φῦντ' ἐκ Στρατηγῶν οἰκίας,
Ὃν καὶ φύλαρχον ἔσχεν αὐτόθ' ἡ πάτρη,
Ἔνυττον ἐν γράμμασιν ἐκλιπαροῦντες
Σφῶν ἀμφέρειν εὔνοιαν εἰς ἀνθύπατον,
Ἀρχῆθεν οἷς ἥκιστα ἠλλοιωμένην.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς εἴγε συννεύσειε τῇ σφῶν ἐνστάσει,
Καὶ ὠπάσαιτο τὰς ὑπερχρείους τάξεις,
Ὧν ἀρτίως πέπληθεν ἄστυ μητρῷον,
Κἀδαψίλευται προστάτις πολιτείᾳ,
Αὐτοὶ λαβὴν δίωιεν ἄλλοις συνείρειν
Ἀπαλλαγὴν ὀξεῖαν ἀθρόας νήσου·
Καὶ γὰρ προμηθεύσαντο ταῖς Κονταρίνου
Προεκθέσεσσιν, ἀντ' ἐμοῦ συμφραδμένου.
Ἦσαν δ' ἀποσταλέντες ὡς τρισσαί που
Τῶν χιλιάδων, Γερμανῶν ἐξαιρέτων,
Καὶ Ἰταλῶν τε τοῖσδε συμμετρουμένων·
Καὶ ἱππέων τε τῶν τεθωρακισμένων
Αὐταῖν-γενέθλαιν, αὖτε τετράκις δέκα,
Ὡς τοῖς ἐμοῖς συνοῦσι παισὶν εἰσπνήλαις,
Συνημένοι στράτευμα συμμορφοῦν μέγα.
Ἡ βάσκανος πάλιν δὲ καὶ δεινὴ αἶσα
Ἀνθίσταται κυκῶσα συμπεφραδμένα·
Ἦν γάρ κεν ἄλκαρ ἱκανὸν πρὸς πᾶν ἔργον,
Πρὸς ὅ,ττι τε ξύντεινεν εἰς ἐχθρῶν ὦσιν,
Ἀτὰρ στρατάρχης προσφάτως δεδεγμένος
Οὔπω γε ἦν ἔμπαιος ἀντ' ἐμοῦ ἔργων,
Καὶ δειματοῦτο συμπλακῆναι ἀντίοις,
Οὐχ ὡς Σπεραϊτῆρις, οὗ στρατάρξάντων
Ἴσως μὲν ἴσον, κρείττον' ἔμπης οὐκ ἔγνων,
Ὃς συμπλοκαῖσιν ἦν ἀτίζων δυσμενεῖς,
Σοφοῖς στρατηγήμασι νίκαθρον φέρων.
Οὐκ οἶδ' ὅπως μέντοι γε ἔνθεν προστάται
Τοῖον μετασταλέντες ἀδρανῆ ἄνδρα,
Ὥστ' αὐτοὶ οὐκ ἤρεσκον, ἐξίαλλόν μοι·
Ἦν γὰρ νεωστὶ γήμας ἄλοχον νέαν
Τῶν ἁφνεῶν τε καὶ ἀριζήλων γένει,
Ἣ κῆρ νόον τε αὐτὸν ἦν τετραμμένος·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐμοῦ δὲ οὐ μέμηλεν, ἀλλ' οὔτ' ἐμπάζει·
Ἐν συμπλοκαῖν γὰρ ἀρτισυγκροτηθείσαιν,
Αὐτὸς δοκῶ μοι ἀλόχου ἐνθυμεῖτο,
Καὶ μὴν ἢ οὐκ ἐξήει ἐκτὸς πτυχῶν μοι,
Ἢ οὐ διαστείχει μου ὑψηλὸν τάφρον,
Ἀλλ' εἴα Μάρκῳ κῆδος ἐκ Συνοβίκων,
Ὃν νῦν ἐπιστάτιον ἠξίουν μέγαν.
Ἐν συμπλοκαῖν γοῦν ταῖνδε ἐν μὲν πρωτίστῃ,
Ἐξῆγε τῶν παίδων μοι ὡσεὶ τετράκις
Ἑκατὸν εὐζώνων τε καὶ μεγαθύμων,
Καὶ ἱππέων ἑκατὸν ἐκ νεοδμήτων,
Καὶ προσκαλεῖτο εἰς ἅμιλλαν βαρβάρους,
Οἱ δ' ἀσμένως ὥρμηντο ἔνθεν ἀθρόοι
Ἐν χιλιάσσι μυρίων ὁρωμένων,
Καὶ θρασύνοντο, οἷα προὔχοντες πλήθει,
Βρέμοντες ἐς τέλος μὲν οὓς κατατρίψαι,
Ἠμνημόνουν μέντοι γε οἷοί μοι παῖδες,
Καὶ οἷα πρὶν φέροντο συμπλοκαῖς ἄλλαις·
Ἐπεισπεσόντων γάρ κεν ἀλλεπαλλήλοις
Ἐφηδόμην δέρκουσα ἴφθιμον κέαρ,
Ἐπεισπεπαικότων μὲν ἀμφὶ βαρβάρων
Καὶ ἐκτρεπόντων οἵας οἷον ἐς μάνδραν,
Οὓς προκατατρέχοντες ἔσφαττον φύρδην·
Ὡς ὑστεραίᾳ ἔκλυον διακτόρων,
Ἀριθμὸν ἔνθεν δυστυχῶς κατκταθέντων
Ἑκατὸν ἑξάκις μὲν οὐχ ἑλαττοῦσθαι,
Ἐμῶν δὴ παίδων οὐ πλέω τῶν δὶς δέκα
Μεταξὺ πληγέντων τε κἀποφθιμένων.
Ἐκ τῶν δ' ἐθέλχθη ἀνθύπατός μοι μέγα,
Καὶ στὰς πύλης ἔσωθεν, ἔνθεν νοστοῦντας
Πομπηΐῳ τε κἀκ Συνοβίκων ἅμα,
Ἀγαμένως ἔκυσε κἀφιλεφρόνει·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βουλὴν δ' ἀγείρει τῶν ἀνεχθέντων ὕπερ
Ἐξ Ἰραπυτίων τε καὶ στυγειτόνων,
Ὅπως ἐπαρκέσειε θυμοῖς ἐμμόχθοις,
Ὑπὲρ πολιτείης τε πυρπολουμένοις.
Καὶ δὴ ἐπεψήφιστο βουλῇ ἐγκαίρως
Ἱμερτὸν ἄλκαρ τοῖσιν ἀντιμετρῆσαι·
Πέπομφε δ' αἶψα ἱκανὸν δὲ οὐ πρὸς πάλην
Ἀλαζόνων τε καὶ πατηλεπικλόπων,
Ἀλλ' ἱππέων μὲν ἑξάκις μόνον δέκα,
Καὶ τρὶς θ' ἑκατὸν ἐκ Πρυλέων τοὐπίπαν,
Ἐπιτρέπει δὲ πάντα ἐκ Κορνηλίων
Γεωργίῳ μοι τῷ προόπτῃ ἱππέων·
Αὐτὸς δ' ὑπείκων ἐντολῇ ἀνθυπάτου,
Εὔθυμος, ἀλλ' ὤκιστα ἐντύνει πλεύσας.
Ἀλλ' οὓς ἑταίριζ' ἦσαν Ἀνδρέας πρῶτον
Ὁ ἐκ Στρατηγῶν, κἀκ Γελισσαίων Μῆλος,
Βαταΐας τε ταξίαρχος ὢν Γάλλος,
Φραγκίσκος ἐκ Ῥώσων τε Ἰραπυτίων
Ὁ καὶ διευθυντοῦ τε ἀξίαν φέρων,
Καὶ Ἰάκωβος, εἷς ταγὸς τῶν ἱππέων,
Ἐκ Ναυπλίας δ' ὃς κλημένος κἂν θρεπτός μοι,
Θωμᾶς Μορήτης τ' ἀρχιτέκτων πυρτέχνων,
Ἀντάξιός τε ἵδρις εἰς εὐερκείας,
Ἄλλοι τε θητεύοντες εἰς ἄμυνάν μοι.
Τάδ' ἦν ῥέθη εὔρωστα χρωτὸς εὐτάλμου,
Ἀτημελήτου ἔμπα κόρσης δαιδάλου,
Ἠσκημένου μὲν ἀνδρὸς ἔργοις δηΐοις,
Λόγον στρατάρχου ἀμπέχοντος ὡς ἔδει,
Ὡς ἂν διευθύνοιτο πᾶν ἡνωμένον·
Ἐπεὶ δὴ διῃρέθη δὲ ἔνθα καὶ ἔνθα,
Οὐκ ἦν ἔτι χρὼς ὡς προτοῦ τῶν εὐτάλμων,
Ὡς πᾶν ἔχοιε πρὸς τὸ πᾶν ἀκοντίσαι·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐμβάντες οὖν εἰς πλοῖα, οἷς στρατὸς τόσος
Χωρητὸς, ᾧ τ' ὠχεῖτο τοῦδ' ἐπιστάτης,
Πόρθμευον οὖ σκοπός τε χερσόνησόν δε·
Κορνήλιος δὲ βούλεται μὴ δηθήνειν,
Αὐθήμερόν τε ἐκκομίζετ' εἰς πέδον,
Πρόσω δὲ τάγμα ἱππικὸν προεκτάττει,
Ὁδὸν προτέμνον, οὗ ταγὸς τάχθη Μῆλος·
Ἴλην δ' ἐμόρφουν εἴκοσ' ἵπποι πρὸς πέντε,
Τείνουσα εὐθὺ τῆς πρὸς Ἰραπυτίους.
Ἀλλ' οὖν κατ' ὄψιν λαυροκόμης ἱτέας,
Ἱππῆες εἰσορῶντο ἑπτάκις δέκα
Ἀναρσίων, τόσοι τε πεζῶν εὐζώνων,
Οἷς προσδραμὼν εἵσπιπτε Μῆλος γενναίως,
Οὓς καὶ τέτραπται, πλήξας αὐτῶν οὐ παύρους.
Κορνηλίῳ δ' ὤχμαζεν ἵππον καὶ κόρσην,
Εἰς δεῖγμα ὡς τραποῦτο τούσδ' αἰνῇ λώβῃ.
Αὐτοὶ δ' ἔναντι ἀντίπρωροι ἑστῶτες,
Δόκευον ἔνθεν ἀτραποὺς Κορνηλίου.
Ὅς δ' αὖ χαλᾷν ἤνωγεν ἡνίας πρόσω,
Κἀνὰ κράτος δίωκεν ἠφανισμένους,
Δραστῆρσιν ἐνδείξεσιν ὅσον πυροῦτο,
Ὡς μήποτ' ὄσσηταί με δουλοῦσθαι ἄλλοις.
Κωμήτας οἵσιν ἔσχε κἀπιταῤῥόθους,
Οἳ συμπαραδραμόντες, ὡς ἑνὸν σφίσι,
Συμπέπραχαν σκήψαντι ὁρμῇ τοιᾷδε,
Φραγκίσκος οὓς παρώτρυν' ἐκ Κορνηλίων,
Θύτης πέλων ἀφνειὸς ἐν τοῖς κωμήταις,
Ὑπερμενὴς τὰ πάντα τοῖς ἐγχωρίοις,
Ἀλλ' εὐμενὴς ἀπαρτὶ πρὸς πολιτείην,
Ὅς συμπαρήνει εἰλκέ τ' εἰς πειθὼ τούσδε,
Κἀολλέσας προὔτεινεν ὡς τρισχιλίους.
Ἦν πρόκριτος γὰρ ἔνστασιν ποιουμένων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρόσκειτο προστάτη δὲ ἑκ Κορνηλίων,
Μίμνησκέ τε ξυμφερτὰ κυρκανηθεῖσιν·
Ὃς δ' αὖ ἐπὰν δίωκεν ἔνθεν βαρβάρους,
Ἐπὶ Σκοπηκέφαλον ἕδραζ' ἐς κώμην,
Ἦ καὶ ἀπεγράφοντο οἱ συνωμόται,
Γήθει δ' ἐφηδύνοντο ἐξ ὁπλισμάτων,
Εἴγ' ἐλπίδι τρέφοντο τοῦ πρὶν βίου.
Δίζοντο δ' ἔνθεν Ῥουκάκην κώμην πρόσω,
Τείνοντες αἰὲν τὴν πρὸς Ἰραπυτίους,
Ὁδοιποροῦσι δ' ἦὗξε πλῆθος εὐνόων,
Οἳ πολλὰς εἰσκόμιζον ἀνταίων κόρσας,
Ὡς ἡδύνεσθαι προστάτην ἐπαυξήσει.
Τυτθὸν δ' ἐπεκράτησε γῆθος τοιόνδε,
Μετραπὲν νῦν ἐς στόνον παρ' ἐλπίδα,
Τῆς καρχάρου πορείας ἠδὲ μηκίστου·
Ἐξαπίνης γὰρ Κουσαίνῳ δηλοῦται
Ποσὸν ξυνωμοτῶν τε καὶ ἀλκαζόντων,
Κἀναλόγως προὔπεμπεν ἃς τάξεις οἶδεν
Ἀρκούσας εἰς πόρθησιν ἐκταραττόντων.
Κορνηλίῳ δὲ ἐγγυᾶτο ληφθέντων
Τίς αἰχμαλώτων ἄλκαρ ἱκέσθαι μέγα
Ἑξηκοσίων πεζικῶν στρατευμάτων
Καὶ ἱππέων ἑκατὸν ἡμιτόσσων τε·
Αἰνὸν δὲ ταῦτ' ἄγγελμα συγχεῖ προστάτην.
Οὐ γὰρ μόνον τόδ' αἰνὸν, ἀλλ' αἰψηρόν τε·
Ἐν ᾧ γὰρ εἰσηγεῖτο χειρωθεὶς τάδε,
Ἰδού τε ἐμφαίναντο εἰς ἀγχοῦ λόφον
Ἱππεῖς ἔτ' ἀσθμαίνοντες ἑξήκοντά που,
Ἠμφιγνόουν δὲ εἰ χρὴ ἐλθεῖν ἐς πέδον
Καὶ συμπλακῆναι ἁπλέτῳ δυναστείῃ,
Ὥοντο μείζω γάρ κεν εἶναι τὸν σάλον,
Ἢ εἰς πέδον Γόρτυνος ἐκταραχθέντα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀνασκοπῶν δὲ ταῦτα εὖ Καρνήλιος
Ὡς οὐ διαρκὴς προσπαλαίειν τοσσοῖς δε,
Αἱρεῖτο ἔνθεν ἄψ ἀναχάσασθαί πως,
Πρὶν ἂν διαφθαροῖεν οἰκτρῶς τοσοί δε,
Ὅσοι συνωμοτῶν τε ἠδ' ἀλκαζόντων.
Πολλοὶ δὲ ὀρρωδόντες ἐς σφῶν οἰκίας,
Ἀπηλλάγησαν εἰς ἀνάκτησιν παίδων.
Κορνηλίῳ δ' ἄλλοι τε εἵσποντο σπουδῇ,
Καὶ ἀσφαλῶς εἵρυντο χερσόνησόν δε·
Σφᾶς δ' οἵ γ' ἐποπτεύοντες ἀπατηθέντες
Καὶ πλατάγημα ἢ ὑπόπτευον μεῖον,
Ὥρμηντο αὐθαδῶς τε νέρθεν ἐκ λάρου
Πεζοί τε ἱππῆς τε ὅσοι, λοιποί τε,
Καὶ λῃΐην ποιοῦντο κώμαις ταῖς πέριξ.
Ἀλλ' οὐκ ἀνεκτὰ ταῦτά μοι Κορνηλίῳ,
Οἰκτρῶς φέροντι δεινὰ κώμαις προσφύντα.
Τούθ' εἵνεκ' ἐξέπεμπε Μῆλον ἱππῆα,
Ἴλην τε πᾶσαν αὐτὸς ἧς ταγὸς πέλει,
Ὡς ἀντισυμπράξοιε συστολὴν τοῖς δε.
Ὃ κἀξέβη κατ' αἶσαν, ὡς ἐφετμή τε·
Δίωκε γάρ κε τούσδε τῆλε τῶν πέριξ.
Κορνήλιος δὴ Μῆλον ἀθρῶν αὐχοῦντα,
Ἔξεισι καὐτὸς σὺν μόνῃ ἢ φατρίῃ·
Φθείρουσιν οὐ παύρους δὲ εὖρος ἐς πέδου
Ἐπεμπεσόντος θατέρου ἐκ Ναυπλίης
Σὺν δὶς δέκα πρὸς τοῖσδε οἰκείας ἴλης,
Καὶ νοστέουσι, κόρσας ἠδ' ὠκεῖς ἵππους
Ἄγοντες εἰς ἔνδειξιν ὧν ἐπεκράτουν.
Ἐπὰν δέ γ' ἐκπόμπευον ἐς πόλιν σῶοι
Διημέρευον ἔνθα ἤματα τρία.
Βορᾶς δὲ ἵππων ἄρτι ἐκλελοιπυίας,
Κορνήλιος προὔπεμπεν ἔντοσθ' ἁπλίτας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς ἂν ἐρανίσαιντο χρειῷ ἀστέκτῳ·
Αὐτὸς δ' ἐπισκοπεῖτο μήποτ' ἀθρόοι
Ἀνάρσιοι σκήψωσιν ἐς φθορὰν τῶνδε,
Καὶ ἠνὶ εἰσορῶντο ἀθροίζεσθαί που
Ὑπερθεν Ἄμμου ἱερὸν πρὸς Προδρόμου.
Ἐπείγεται δὲ κίνδυνον παρεκκλίναι,
Ἔνθεν προήκων ὁπλίτας παρεξάξων·
Μόνους ἑταιρίζει δὲ εἴκοσ' ἱππέας,
Οὔπω γε λοιπῶν ἐκ πόλησς κατβάντων.
Οἱ δ' ἐξιέντες ὧν ἐνέδρευον λόχων,
Ὥρμηντο λάβρως τοῖς κατ' Ἄμμου ἀθρόοι,
Τριηκοσίων ἱππέων ὄντων μόνων,
Πεζῶν μενόντων οὗ λόχους κρύβδην ἴσχον.
Κάγχαζον εἴπερ ἐκθοροῦντες ἐνθέδεν,
Καὶ ὁπλίτας ἀθροῦντες ἐξολωλότας·
Ἐν ᾧ δὲ κατλάκτιζον αὐτοὺς ἱππέες,
Κορνήλιος μάστευε λοιποὺς ἀλκάσαι,
Καὶ ἐξιέντων ἐκ πόλησς ξυμπάντων,
Πεζοὶ ἐνεδρεύοντες ὥρμησαν λόχου,
Πέδος τε ἐμπέπλησστο τῶν στρατευμάτων,
Ὡς δεῖμα ποιεῖν ἄφθιτον θεωμένοις.
Κορνήλιος δὲ τούςδε κἂν ἦ θαρσύνων,
Μέντοιγε ἐτράπησαν ἐς φυγὴν φύρδην·
Ὁ δ' ἐκ λοχαγοῦ οὐραγὸς καθεστήκει,
Καὶ σώζεται ἄριστα ἐχθρῶν ἐκ μέσου,
Δυοῖν μόνοιν μὲν ἱππέων κατκταθέντων,
Πεζῶν δ' ἑκατὸν πλεῖον ἐξυπερβάντων,
Οἳ νῶτα δόντες τοῖσι πρηνέες πίπτον,
Αὐτοὶ δ' ἐπεισπεσόντες οἰκτρῶς οὓς κτάνον.
Φραγκίσκος εἰ καὶ ὦρτο, Ῥῶσος τοὐπίκλην,
Ἑστὼς ξιφήρης καὶ ἔφιππος τοσσοῖσδε
Ἐναντι πᾶσιν, ὥτρυν' οὐ μὴ διδράσκειν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τρέπειν δὲ ὄψεις δυσμενέσσ' ἀντωπούσας·
Καὶ δειματοῦν μέν, δειματοῦσθαι δ' οὐδόλως.
Μηδεὶς δὲ τοῖσδε κλαιέτω δυσπραξίην,
Αὐτοὶ ἐπείπερ αἴτιοι τῆς σφῶν λύμης.

ΤΜΗΜΑ Θ'.

Ἀνθύπατος τ' ἐνθένδεν ὡς ἂν ἐκκρούσῃ
Τὴν Κουσαΐνου χερσονησίοις λύσσαν,
Καὶ πρᾶγμα δῴη τὰς φρένας οἱ συγχέον,
Ἔνθεν θαμειὰς συμπλοκὰς μερμηρίζει,
Καὶ εὐαρέστει δευτέραν παροξύναι.
Συνωβίκης δὲ ἐντύνει τὴν πρὸς πάλην,
Πομπηΐος γὰρ τῷδ' ἀνήρτα πᾶν κῦδος,
Ὡς μαλακισθεὶς τῆς πρὸς ἄλοχον μνείας.
Ἐπεὶ δ' ἐμοὺς ὃς παῖδας ἤδει ὁπποῖοι,
Καὶ Γερμανούς τε βούλεται ἐκπειράσαι,
Ἂν καὐτοὶ ἐξαρκῶσι πρὸς τούσδ' ἀντέχειν.
Ἐξῆγε γοῦν ἐκ τῶνδε πλείους χιλίων,
Καὶ ἱππέων ἑκατὸν ἢ καί τι πλέον.
Ἵν' ἀσφαλῶς δὲ αὖθις ἐκβαίη τάδε,
Μαρούδιον δίζητο πυρτεχνῶν ἄκρον·
Ἦν δαιδάλαιος γάρ κε τῶν ποτοῦν φύντων
Ἴδμων πρόφρων ὢν καὶ σοφῶν μαθημάτων.
Ὥρμητο δ' ὅς γε ἐκ Ῥιθύμνης παιδός μοι,
Καὶ εὐδοκίμει συντελὴς παρ' ὑπάτῳ·
Καὶ νῦν νεουργήματος εὑρήκτωρ ἔφυ,
Ὃ Τρωϊκοῦ ἔοικε μυθώδους ἵππου.
Δίφρον προεσκεύαζε μακρὸν εὐρύν τε,
Τέρας θεωμένοισι ποιοῦντα ξένον,
Οὗ τἀκτὸς ὡράϊζεν αὐγαῖς χρωμάτων,
Ἐντὸς δ' ἐταμίευε πυρὰ ἐντέχνων.
Πυρεκβολίσκους γάρ κεν ἀμφὶ ἁρμόττων,
Ἐν τοῖσι ῥόμβον ἐμφυτεύει σιδηροῦν,
Πυρεκβόλον δὲ λίθον ἐμπεδοῖ νέρθεν,
Ψαύοντα ῥόμβου, ἑστομωμένον κύκλῳ·
Οὗ ἄξον' ἀσφάλιζεν ἐντέχνως κλείθρῳ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς πρόσθεν αὐτὸν μὴ ἐᾷν ἐγκυκλίζειν.
Σμήρινθον εἶτα μακρὸν ἔνθεν ἐξήρτα,
Ὅν εἴ τις ἀνθέλξειεν, αἴρῃ ἂν κλεῖθρον,
Καὶ ῥόμβον εἰσκρούοντα ἐς πυρεκβόλον,
Ἅπτειν τὰ πυρά, ὡς σκοπὸς τεχνουργοῦντος·
Μαρούδιος γοῦν δίφρον ἐξάγει πέδῳ
Τῷ Βιθλεήμης, συμπλοκὴ οὔπερ πρώτη,
Αὐτὸς δὲ γ' ἐμβὰς ἓξ σὺν ἄλλοις γεννάδαις,
Στρωφᾷν ὑπεστρώννυεν ἓξ ἐκ φορτάκων,
Πόμπευε δ' ἀμφί, προστάτης τις οἷά περ.
Συνωβίκης δὲ ἀμφέπων πέριξ πέδου,
Ἄτρεστος αὖθις προσκαλεῖτο δυσμενεῖς·
Οἱ δ' ἀντίον κάββαινον ἄπλετοι κἄθροι·
Καὶ συμπλακέντοιν τοῖν στρατοῖν κατ' ἀλλήλοιν,
Ἀνάρσιοι σύμπιπτον οὐχ ὑφειμένως·
Οἱ Γερμανοὶ γὰρ δειδιᾷν προσποιοῦντο
Ὀπισθοβάμονές τε οἷα καρκῖνοι·
Μαυρούδιος καὐτός τε ἐν μέσῳ πέδου
Κάτεισι δίφρον, ἦγε δ' ἄκρον σμηρίνθου,
Ἐῷ δὲ γε ξυνῆπτε φασγάνῳ λίγδην,
Χαμαί τε καταλέλοιπεν, εἶθ' οὕτως θέεν,
Λοιποῖς ἑταίροις πρός με καγχάζοντές περ.
Αὐτοὶ δ' οἰηθέντες ἁπλοῦν τὸν δίφρον,
Θόαζον ἀθρόοι τε κυκλοῦντες τόνδε,
Οὔπω φρονοῦντες πῦρ τεταμιευμένον·
Συχνοὶ δ' ἐπιδραμόντες ἀμφὶ φασγάνῳ
Ἔριζον ἀλλήλοισι τὶς ποτ' ἂν λάβῃ.
Ὡς εἵλκετο σμήρινθος ᾧ ἐξηρτᾶτο,
Καὶ αἴρεται τῷ ῥόμβῳ ἁρμοσθὲν κλεῖθρον,
Καὐτὸς δινεῖτο ἴφι εἰς πυρεκβόλον,
Ὡς πῦρ ἀνάψαν σὺν βρόμῳ καὶ πατάγῳ,
Συμπυρπολοῦν ἅπλητα ἀμφὶ χριμφθέντας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς φθιμένων μὲν ἀπλέτους θεαθῆναι
Μεταξὺ πληγέντων τε καὶ κεκαυμένων,
Ἐμῶν δὲ οὐθὲν πλεῖον ἑπτὰ πρὸς δέκα.
Συνωβίκης δὲ βούλεται λοιποὺς σεύειν
Ἐκδειματωθέντας τε καὶ πεφευγότας·
Σεύων δ' ἂν ἐξέλαυνε καὐτῶν καρφίρων,
Εἰμὴ στρατάρχης ἐκθορῶν πέλας τάφρου,
Οὗ καὶ μέμεινε βόμβον αἴων πάλης,
Ἤνωγεν ἴσχειν ἄψ ῥυτῆρας καὶ πρόσω
Μή τι προκόπτειν στρατόν, ἀλλὰ γ' ἐκκρούειν
Ὁρμῆς κατ' αὐτῶν ἀτρεμήσοντα πρός με.
Μέντοιγε Κουσαῖνος οὐ κατώκνει πως,
Ἀλλ' ἐσκόπευεν ἄλλοθ' ἐκδικεῖν τάδε.
Οὐ γὰρ παρέῤῥει δηθὰ καὶ Συνωβίκης
Αὖ προσκαλεῖτο συμπλοκὴν τρισσουμένην·
Ὃς δ' οὐκ ἔνευεν ἀλλ' ἀναίνεται μᾶλλον
Πορθεῖν μεμηλὼς ἔργα χερσονησίων.
Καὶ δὴ πέπομφεν ἔνθα καὶ ὑπερμέτρου
Τῶν ἱππικῶν τάξεων ἠδὲ Πρυλέων.
Κορνήλιος γὰρ ἀνακτισθεὶς πάλιν
Ἀολλίσας λείμματα κωμητῶν φίλων,
Καὶ εἴτι ἦν οἷός τε τάξεων ἄλλων,
Σημαίνεται δὲ γράμμασι ταῦτ' ἀνθυπάτῳ,
Ὡς εἰ προμηθεύσαιτο προσπαίως ἄλκαρ,
Ἴδοιεν ἀθροισθέντας αὖθις κωμήτας,
Εἴπου γε ταῦτ' ὀργῶντας Ἰραπυτίους.
Βουλὴ δὲ συγκροτεῖτο τοιούτων ὕπερ·
Ἔθος γὰρ ἀρχῇ φαιδίμου πολιτείης,
Εἰ καιρὸς ἐνδιδοίη αἴρεσθαι ὅπλα,
Διττοὺς προπέμπειν τοὺς προόπτας οὗ δέον,
Παρ' ἀνθυπάτῳ εἵνεκεν βουλευμάτων,
Εἰς ὕβρεως πρόσκρουμα ἀντιφραττόντων·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦσαν προπεμφθέντες δὲ ἀρχῇ δεινῶν μοι,
Ἐκ Μυλίνων Φίλιππος οἷα γνωστός μοι,
Καὶ θάτερος Μαρῖνος ἐκ Βραγαδίνων,
Αὐτός τ' ἐπαρχήσας μοι ἡσυχαζούσῃ,
Ὅς κεν πρὶν ἐνδείξειεν ἔργ' ἀριστείης,
Καὶ οἷος ἦν βουλῇ τε καὶ δειναῖς μάχαις,
Δεινῶς νοσήσει ἢ τελεύτα συγκοπῇ·
Ὁ δ' αὖ βελέμνῳ τραυματισθεὶς καιρίαν,
Ἐν ᾧ Ῥιθύμνην ἦν ἀμύνων, ἐξέπνει,
Καὶ ἐξεδέχθη τόνδε γνήσιος κάσις,
Ἀντώνιος τρίτατος ὢν ἐκ τεττάρων,
Ὃς νῦν νοσήσει καὐτὸς ἐκλείπει βίον·
Ἱερώνυμος δὲ ἄλλος ἐκ Βουδουμήρων,
Ὃς συμπονήσας ἐς πάτρην ἀπηλλάγη·
Καὶ ἐκδέχονται τούσδε αὖθις ἐκ τρίτου,
Ἰούλλιός μοι Γαβριήλων οἰκίας,
Καὶ Ἰάκωβος ἄλλος οἴκου Βαρβάρων,
Οὐ τοῦτο νῦν πεμφθέντες ἐκ πολιτείης,
Ἀλλ' ᾧδε ἠξιοῦντο ἠριστευκότες·
Ὁ μὲν προπεμφθεὶς οἷά περ προμηθεύσων,
Μὴ παντελῶς ὄλωμαι ἐν λοιμοῦ φθόρῳ·
Οὐ γὰρ μόνη ἦν δῆρις ἡ θλίβουσά με,
Ἀλλὰ ξυνῆπτο λοιμικῇ ὀλεθρίῳ·
Ἐπὰν δ' ἐγὼ λέλυμαι ὁλοῆς νόσου,
Ὅς γ' ἐξεδέχθη πρῶτος ἐκ Βουδουμήρων.
Ὁ δ' αὖ προπεμφθεὶς ἐς πρόοψιν Πανόρμου,
Ἐνθένδεν ἡγεμών μοι ἐγκαταλέχθη,
Καὶ ἐν δέοντι εὖ τε χρειὼ εἰργμάτων·
Ῥαγὲν γὰρ ἄκρου τεῖχος ἐκ Μαρτινέγκου,
Αὐτοῦ τέτακται δυσπαλές περ εἰρύειν,
Κἀπεισπεσόντας ἤμυνε προστατεύων,
Ὡς καββαλεῖν τούσδ' ἐκ φορᾶς ὀλεθρίου·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀνὴρ δὲ ἀνηγόρευτο ἀντὶ Μυλίνου,
Καὶ εὐδοκίμουν ἄμφω, οὐ βουλῇ μόνον,
Ἀλλ' εἰσέτι πράξεσιν ἐγχεσιμόροις.
Βουλῇ ἄρ' οὖν ἦν σκέψις εἰ Κορνηλίῳ
Χρεὼν ἀρήγειν ἢ ἀναίνεσθαι ἄλκαρ.
Ἀλλ' οὐ μόνον πραΰτεινον αὔταρκες δοκοῦν,
Ἐπιστατεῖν δ' ἔτ' ἄδε μείζω προστάτην
Τίνα, προόπταιν νῦν ἀναγορευθέντοιν·
Ἔρις δ' ἐπ' ἀλλήλοισι τίς ποτ' ἂν βαίη·
Ἐκ Γαβριήλων γάρ κεν οἷα αἰζηός,
Προτείνεται ἥδιστα εἰς ὑπουργίην,
Θέλει δὲ Ἰάκωβον ἀμπαύειν γυῖα,
Οἴκοι μένοντα μητιᾶν ἀναγκαῖα.
Ὃς δ' ἀντέλαβε κἂν γεραίτερος τοὔργον,
Ὡς μὴ ἐλάττων δόξῃ ὢν παλαιγόνων.
Ἔφασκε δ' ἐνδομυχὶ τοῦπος ἀρχαίων,
Ὃ καπιγέγραπταί τε ἐν σφῶν παρσήμοις,
Θανεῖν προαιροῦμαι δὴ ἢ χραίνεσθαί πως,
Ἐπικρατῆσαι δ' εἶτα δυσχερεσμάτων
Ἐντείνεται πρὸς πλεῦσιν οὗ χρῆμα σπέρχε.
Παρεστάτουν δ' ἔμοιγε δίπτυχοι νῆες,
Ἃς εὔθυνον Μαρῖνος ἐκ Βαδουάρων,
Καὶ Ἀνδρέας ἀγαυὸς οἰκίας Ζάνων·
Οἱ δ' ἐς φυγὴν τρέψαντες ἐκ Παλαικάστου
Ἤδη ἀποστολῆας· ἐς γοῦν τὴν μείζω
Ἄμβαινεν Ἰάκωβος αὐτὴν Μαρίνου,
Δάϊζε δ' ἄλκαρ ναυσὶ τοῦτ' εἰσβιβάζων,
Καὶ οἷς τριήροις ἴσχεν εἰς ὑπουργίην·
Ἦν δ' ὁπλιτῶν μὲν ὡς δεκάδες δὶς δέκα,
Καὶ ἱππέες τε δὶς δέκα πρὸς τοῖς πέντε,
Ἀλλ' ἀτρομήτου τάξεως τῶν θωράκων,
Ὧν Ἄγγελος ποδηγὸς ἐκ Ματθαιάκων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἵκανον πρότριτα οὗ ἐγνωσμένου·
Κορνήλιος γοῦν δεξιοῦτο προφρόνως,
Καὶ συμφράσαντο ἔνθεν ἀμβολῆς ἄνευ,
Ἐς Ἱεραπυτίωνα ἐλθεῖν ῥηγμῖνα,
Ἵν' ἀσφαλῆ ᾖοντο εἰσβολὴν νέαν.
Ἐλθὼν δὲ αὐταῖς ναυσὶ καὶ τριήροις τε,
Ὅστις ποτοῦν ἦ προστατῶν τὸ νῦν ἔχον,
Οὐκ ἐκκομίζει τὸ στράτευμα ἐς πέδον,
Ἐπεὶ διευλαβεῖτο δυσμενῶν αὔξην,
Φρουρὰν δ' ἔπληττε κἀδεῶς πυρεκβόλοις,
Καὶ συντάραττε δεινὰ ἤματα τρία,
Ἔπειτα νοστεῖν ἤνδανε βουλῇ πάσῃ,
Κἀκ χερσονήσου ὧρσαι ὁρμὴν τοιάνδε·
Κἂν Ἀνδρέας Ζάνης μὲν οὐ νεύει μόνος,
Οὐδ' ἅπτεταί τε ὑπογράφειν καλάμου,
Καὶ μὴν ἐπ' οἰώνισμα δυσχερεστέρων
Ἢ Γορτύνης πέδῳ τε ἀτοπημάτων.
Πλάγχθη γὰρ Ἰάκωβος ἐκδὺς ἀξίαν,
Καὶ ἐνδύνων κοινῶνα ἐκ Βαδουάρων·
Ὅτου δὲ χάριν οὐκ ἔχω τι ἂν φαίην,
Εἰ γὰρ ἐγκρατὴς οὗτός γε τόσσης ἀξίας,
Βουλῇ ὑπείκειν οὐκ ἀρέσκεται ἄλλων,
Ἀλλ' ἀπροόπτως πάντα κἀβούλως πράττει·
Ξύμφωνον ἦν δ' ἥγημα βουλῇ συμπάσῃ,
Ποιεῖν πορείαν τὴν πρὸς Ἰτέαν κώμην,
Ὅποι ταμεῖον ἴσχον εἰσόδων Σίνται·
Βαδούαρος δὲ χερσονήσου ἐξιὼν
Δάϊζε τάξεις εἰς ἴλας μὲν ἱππέων
Ἓξ ἥττονας δύω τε μείζους θωράκων,
Κορνήλιον λοχαγὸν ἐκτάττων στόλου,
Ταγόν τε Μῆλον ἐν δυοῖν' ἴλαιν μόνον,
Στίχας δὲ Γάλλων τάττεν ἐς λοχαγίην,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὧν ταξίαρχος Ἄρδιτος Βαταΐας·
Μέσῳ στρατοῦ δὲ ἐγκαθίστα Βάρβαρον,
Ματθαίακον ταγόν τε σὺν Ῥώσσῳ ἅμα,
Ἵν' ἐμφύτευεν ὁπλίτας ἐγχωρίους.
Αὐτὸς δὲ ὄπισθεν οὐραγὸς καθεστάκει,
Ξὺν ταξιάρχῳ Βακιγαλλούπῳ, κἄλλοις
Ἐκ Γερμανῶν ταγοῖσι, τῷ τ' ἐκ Ναυπλίας.
Ἐπὰν δὲ οὐδὸν ἤνυσάν που σταδίων
Μετρημένοισιν ἀμφὶ ὀκτάκις δέκα,
Διττὴ τρίβος μέριζε τὴν πρὸς Ἰτέαν·
Ἡ μὲν γὰρ ᾗ τείνουσα πρὸς Ζούην κώμην,
Καὶ πρὸς πάροικον Καλαμαύχην κλημένην,
Φάραγξ δὲ προὐβέβλητο ῥοῦς στενωπός τε,
Ὡς δύσβατον δοκεῖν μὲν ἀνδράσ' εὐζώνοις,
Ἱππεῦσι δ' ὡς μάλιστα τῶν ἁμιχάνων·
Ἡ δ' αὖ πρὸς οὖρος Δρῦν κλημένον βλέπει,
Ἀμεύσιμος πεζοῖσι, μᾶλλον δ' ἱππεῦσι.
Κορνήλιος γοῦν ἐγκατίσχων πρὸς λόφον,
Ὅποι μερισμὸς ἄρχεται διττῆς τρίβου,
Μετασταλεὶς τὸν Μῆλον ἐκ λοχαγίης,
Βαδουάρῳ πίφαυσκε δίζεσθαι δέαν,
Τὴν ῥᾴϊον μὲν συντελῆ τε πρὸς κροῦσιν
Ὁποίαν ἐχθρῶν εἰσβολῆς ᾗ ἂν σκήψῃ.
Αὐτὸς δὲ ὡς ἀνώγω οἷα βούλομαι
Ἀμείβεται, χρεὼν δὲ οὕτωσὶ πράττειν,
Τὴν πρὸς Καλαμαύχην μοι αὐτὸς ἡγείσθω,
Καὶ μὴ μεταλλᾷν ἔντι ὧν αὐτὸς κρίνω·
Ἀλλ' αὖ ἀνακληθέντα ἐκπέμπει Μῆλον,
Βαδουάρῳ γνώσοντα, ὡς ὑπὲρ λόφον
Κατάσκοποι κατῆντον ὡσεὶ τρὶς δέκα
Ἱππῆες ὀπτεύοντες ᾗ τιταίνομεν,
Καὶ δίζεται ἄδειαν εἰ δῃοῦν θέλει,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦ χειρίους ἐλόντα δεσμίους πέμπειν·
Αὐτὸς δ' ἀπήντα οἷς ἔπεσσι, τὸ πρῶτον
Πρὸς τὴν Καλαμαύχην μοι αἰὲν ἡγείσθω.
Μὴ διζέτω δὲ εἴ τι εἴργει μοι τρίβου·
Λέληθε μέντοι δεινὰ ἀρχιτεκταίνων
Φθορᾶς θ' ἑαυτοῦ πρόξεν' αὐτοῦ τε στόλου.
Αὐτοὶ γὰρ ἐγκατέσχον αὐλῶνος πλευρά,
Καὶ οὐραγὸν λίθοισι καὶ οὐρᾶς τάξεις,
Ἔπληττον οὓς ῥύαξ τε δέκτο φθιμένους·
Κἂν οὐραγὸς μὲν οἷς πυρεκβολίσκοισι
Χεροῖν κατίσχε πλῆξε πλήξαντα πρῶτον,
Καὶ ἔκδικος τελεύτα οἰκεῖον πότμον.
Συγχεῖ δέ μοι κῆρ, ὡς ἐς ἐμπεγμὴν μείζω
Καθήμενοι ἔτεμον ἵπποις τοὺς πόδας,
Χαλκῷ ἔπειτα ἱππέας χαμαὶ σφάττον·
Ἵππευμα δὲ σφῶν ὡς τάχος προβὰν πρόσω,
Κακῶς ἀναστατεῖ τε καὶ ἀνατρέπει,
Αὐτὸ στράτευμα καὶ φράδην Βαδουάρου,
Καὶ σεύεται Βάρβαρον ὡς ἕλῃ ἔμπνουν·
Ἀλλ' ὃς προαιρεῖται μὲν ἐκλιπεῖν βίον,
Ἢ δυσμενέσσιν ἐγκαθίστασθαι ἄγραν,
Καὶ μάρναται ἄριστα ἀγαθὸς πέλων·
Ὡς δ' ἂν παροξύνειε μηνιθμὸν τοῖσδε,
Καὶ πότμον ἐκποιήσωσι μεθ' ἑλεῖν ἔμπνουν,
Κατέπτυε σφῶν καὶ λατρείης καὶ ἥρως,
Βρέμει δὴ οὐτάζουσιν ἄσπετον γῆρυν·
Σκαοὶ φύσει γεγῶτες ἔθνους Καρβάνων,
Ὑμεῖς γε μὴ οἴεσθε εὖ τάδ' ἐκβῆναι,
Φαιδρᾷ πολιτείῃ τε μὴ μέλειν Κρήτης·
Θλάσθω μεληδὸν τουτί μοι κακὸν δέμας,
Ἀλλ' ἐν βραχεῖ τίσεσθε ποινὴν ἐνδίκως.
Ἐν ᾧ δὴ ἠσχολοῦντο Βαρβάρου φόνῳ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐγχώριοι πέφευγον εἰς ἀκρωρείας·
Αὐτοὶ δ' ἀναιρεθέντα τῇδε λιπόντες,
Προσωτέρω προῦβαινον ἐς λοχαγίην,
Ὅπου γε Γάλλοι ὅπλα ῥιπτάζοντές που,
Ἄνευ ἀγῶνος προὐδίδοντ' ἀγενῶς τε.
Κορνήλιος δὴ συγκαλυφθεὶς ἐς χῶρον
Ἐρυμνόν, οὗ πρόσφευγον οἵ τ' ἀριστῆες,
Ἐνθένθεν εἰρύοντο χερσόνησόν δε·
Ἦσαν δὲ τοὐπίπαν μὲν εἴκοσ' ἱππῆες·
Πεζῇ πλανωμένοις δὴ εἰς ἀκρωρείας,
Τίς ἐκ Φιλίππων Πέτρος ἔνθεν εἰσφέρει,
Ὡσεὶ ἑκατὸν ἠδὲ πεντάκις δέκα,
Ἔμπειρος ὢν τῶν τῇδε, πρὶν προστατεύσας.
Καὶ τερματοῦται τῇδε, δύσβουλος μάχη
Ἐν στεναγμοῖσι καὶ φόνοις ἀμυθήτοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ Γ'.

Ἐν τοῖσιν αὐτὴ ἠνιώμην ὡς μάλα
Πάντα στίχοντ' ἀθροῦσα αἰὲν πρὸς χείρω,
Ὅποι τύχης μίμναζον ἀρχὰς πρὸς κρείττω·
Οὐκ ἐξέβη δὲ ταῦτα δυσμενῶν βίᾳ,
Ἀεργίῃ δὲ μᾶλλον ὧν κήδονταί μου·
Ῥμπήϊον γὰρ ἦν χρεών, ἐν ᾧ τάδε,
Ὁρμὰς ἀποσπᾷν ἔνθεν ἀσχολούμενον,
Καὶ συμπλέκεσθαι δυσμενέσαι πλειστάκις,
Ὡς Κουσαΐνος μειζόνων μέλειν ἔργων,
Αὐτὸς δ' ἐμαλθακίζετ' ὥσπερ ἀρχῆθεν,
Καὶ ἠμέλησεν ὑσμίνης τῆςδ' εἰσάπαν.
Ἀλλ' ἡσυχίῃ ἦν ἀνώγων ὁπλίτας
Διημερεύειν νήριτόν μοι ἐς πέδον,
Ἐντὸς πύλης μοι κλιμένης Γεωργίου.
Ἦν φθινοπώρου τῆμος αὐχμηρὴ ὥρα,
Καὶ ὁπλῖται ἤθοντα αἴθε ἠλίου·
Χυμῶν δὲ πυρώσιος ἐκτελεσθείσης,
Οἵ πυρέταινον κἀτελεύτων οἴκτιστα,
Καὶ ἐξόλωλον χιλιοσταὶ εὐζώνων
Ἀναρσίων, ἄνευθεν ἡκίστου λώβης.
Καὶ αὐτὸς εὖ δίκασον εἰ τῶν εὐφρόνων,
Ὡς εἶγε κηραίνοιεν εὐρὺν ἐς πέδον,
Μαρνάμενοι κατ' ἦθος οἷς ἀναρσίοις,
Πόσους κόραξιν εἴασαν ἂν βιβρώσκειν,
Πρὶν ἂν κατεφθάρησαν ἥκιστοι τῶνδε,
Ὡς συμπλοκαὶ πέφηναν ἤδη πραχθεῖσαι,
Οὐ πλέω ἢ ἓξ ἀνθ' ἑκατὸν κτανθέντων.
Κἂν δ' ἠνιῶμαι ἀλλ' ἀνίαν ῥυθμίζω.
Νῦν νοῦν ἀναπτερῶσα πρὸς θεωρίαν,
Νῦν δ' αὖ ὑπ' ἀγγέλματος ἐμψυχωμένη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γάκινος εἴπερ πρῶτον ἤματα πλεῖστα
Συγχεῖ με ὡς οἴεσθαι ἐκπτοουμένην,
Μὴ δυσχερεστέροισι δεινοῖς ἀχθείην,
Ἢ καὶ κατασκαφεῖσα δεινῶν μοι λήγειν.
Ἐκ τοῦδέ γ' ἐξωγκοῦτο ῥηγμίν μοι κύκλῳ,
Λιμὴν δὲ γ' ἐμπίπλατο πᾶς ὑπὲρ μέτρον,
Καὶ αὖθις ἐκκενοῦτο χερσωθεῖσά πως·
Νῆες δ' ἐλασίαισι συμπεπλεγμέναι,
Ἐκινδύνευον μὴ ῥαγῆναι ἀλλήλαις·
Ἀλλ' ὀψὲ τῶνδε νησίδος Δίας ὕπερ,
Μέταρσις εἰσωρᾶτο Περσῶν ἁπλέτων,
Βρόμος τε ἠκροᾶτο βροντηδὸν βρέμων,
Δυσοσμίη δ' ἤσθετο ἀτμοῦ θειώδους,
Καὶ οἴκοι ἡμαύρωμαι ἐντὸς ἐκτός τε,
Ὡς κἀὐτὸς ἄργυρός τε ἐν κιβωτίοις,
Στίλβοντα τ' αὐτὰ ὅπλα κουλεῶν ἔνδον·
Ὑποπτα ταῦτ' ἔδοξε τοῖς ἁπλουστέροις,
Ὡς προσδοκᾶν ἔσχατα χειρόνων ἔργων,
Ἐμοὶ δὴ σοφωτέρων δὲ ἅπτεσθαι λόγων.
Κἦρ σφῶν πολυπτόητον ἐμψυχροῦσά πως·
Καὶ τοῖκ μὲν πίφαυσκον ὅσσ' ἐδυνάμην,
Καὶ ὅσσα ἦν μεμνῆσθαι αὖ τρικυμίαις·
Στοιχεῖα εἴπερ κἄν τε ἁπλᾶ τῇ φύσει
Ἄλληλα μέντοι γε, καὶ ἐνεργεῖ καὶ πάσχει,
Ἀεὶ κινουμένων κεν τῆς φορᾶς ἄνω,
Ἐνθένθεν ἁπλῶς τοῖον οὐχ εὕρηταί πως,
Πλὴν πυρὸς ἐμμένοντος, οἷον τῇ φύσει
Καὶ ἐσθ' ὅτ' ἀὴρ ψυχρὸς ἀλλ' ὑπὲρ μέτρον,
Ὕδασι συμπέπηγεν ὧν θερμὸς κράσει,
Καὶ γῆ τε θερμανθεῖσα ἀλλὰ μετρίως,
Γόνους ὕπερθεν ζωφύτων ἐκφέρει,
Νέρθεν φύει μέταλλα θεῖον ἢ νίτρον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗ ἀναθυμίασις εἴη ἀτμώδης,
Ὠθουμένου δὲ πυρὸς αὐτῆς ἐγκάτοις
Φορᾶς πλανητῶν τοῦ μεσεύοντος μᾶλλον·
Τέκμαρ δὲ εἰς πίστωσιν ὧν φέρει λόγος,
Ἐπεὶ τροπικῶν ἐντὸς οὐκ ἐκτὸς τάδε·
Συμμαρτυρεῖ δὲ ταῦτα Σικελῶν Αἴτνη,
Νεάπολίς τε ταὐτὰ συμπεπονθυῖα,
Καὶ ὅσσα ἱστορεῖται ἀρχαίοις, ὕπερ
Παρφυάδων νήσων τε πρὸς Θηρασίαν,
Ηόντου ὕπερθεν Κρητικοῦ μοι κειμένην,
Μετ' οἶδμα πυρσοῦ ἐκφυεισῶν αὐτόθι·
Ἐπεὶ δ' ἀναγκαῖόν τε μίγματα πλεῖστα
Γεννᾶσθαι ὑπόγεια, θερμὰ τὴν κράσιν,
Χρειὼ περιουσίας τε τοῦ ἐνεργοῦντος,
Ὃ ἐμφωλεῦον μέτριον κἀναλόγως,
Τηρεῖ τὰ πυρὰ σῶα καὶ ἀσινῆ τε·
Ἐπὰν λάβῃ δ' αὔξησιν ἐκ κυβερνώντων,
Ἔχθιστα δὴ τόδ' ἅπτεται γεννημάτων,
Καὶ πυρπολεῖν ἀνάγκη οἷς συντηρεῖτο·
Ἀτμὸς δ' ἐγκάτοισι μὴ χωρούμενος,
Πικνούμενός τε ἔκπλεως ὁσημέραι,
Ζητεῖ διαστολήν τε ἔξοδον θ' ἅμα·
Καὶ γίγνεται Γάκινος ἔνθεν συχνάζων,
Ὡς ἐξιὼν βροντηδὸν ἐκ τῶν ἐγκάτων
Ὠθεῖσθαι ὁρμῇ ὕδατ' ἀντιράσσοντα,
Ῥηγμῖσιν ἐξαίρειν τε γειτνιαζούσαις·
Ἅ τ' αὖ πάλιν νοστοῦντα ἢ ἔωσταί που
Πληθὺν συνέλκει κυμάτων ἐκ ῥηγμίνων,
Ἄμπωτιν ἐμποιοῦντα οὗ ἐπλημμύρουν,
Ἔνθεν λιμὴν ὡρᾶτο ἢ κενούμενος,
Καὶ αὖ ὑπερπληροῦτο ἐκ παλινδρόμων,
Ἀτμὸς δ' ἀείρετο σφόδρ' ἐκπυρσευθείς περ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ὤπτετ' ἐμφανῶς τε ἐκθορῶν τμήδην,
Σκηπτῶν δίκην δ' ἀνίσχε δόχμι' ἀμβαίνων,
Ὡς ἀμφίρυτον ἔνθα γῆν τιτανοῦσθαι·
Ὅπερ πρόδηλον ἔκ τε πλήθους κισύρων,
Ἀκταῖσι ταῖς πέριξ μοι ἐκφορτισθέντος·
Αὐτὸς τάδ' ἐνέπουσα γάνυσθαι δέρκω,
Κἀγώ γε δὴ πεισθεῖσα ὡς μάλ' ἠγάσθην.
Τανῦν ἀπαλλαγέντα ὧν ἐγκλημάτων,
Δόκῳ μὲν οὐ λόγῳ ἐγκεκλημένον,
Τὸ δεύτερον Γίλδασον αἱρετηθῆναι,
Ἔμοι γ' ἐπαρκέσοντα αἷς τρικυμίαις,
Ἀεργίᾳ στρατάρχου ἐκπεφυκυίαις·
Ὅ τ' ἀμφέρει τε Μωκενῖκος συγκλήτῳ,
Ὡς δὴ κεκμηκὼς καὶ γηραιὸς λευκόθριξ,
Μάχῃ παρούσῃ οὐκ ἀνεκτὰ ὀτλεύσας·
Ἤδη τε καιρὸς οἴκοι ἀμπαῦσαι γυῖα,
Καὶ νοῦν μετατραπῆναι εἰς θυμηδίην.
Χαρίζεται δὲ πάτρη ὅσσα ἠξίου,
Καὶ ὅσσ' ἱμερτὰ τῷ ἑαυτῆς εὑέρκτῃ.
Ὁμοῦ δ' ἀνηγόρευτο ἐς στολαρχίην
Τὰ πάντα Λειονάρδος οἴκου Φωσκόλων,
Ἐπεὶ πολὺς γεγώς τε εἰς μάχην τήνδε·
Ἔτ' ἦν δὲ διατρίβων ἁλμάτων ὅρους,
Ἐπὰν δάμασε καρτερὰ πολισμάτων,
Κράτιστον ἄστεών τε ἐπαρχίης·
Ἔνθεν μετασταλεῖσα ἡ Γερουσίη
Ἐντέλλεται τήνδ' ἀξίην δεδεγμένον
Τὴν πρός με ὡς τάχιστα οὐδὸν ἀνύσει,
Ὥριζε δ' αὐτῷ ζημίαν νομισμάτων,
Εἰ πευστὸς οὐ φαίνοιτο ἐντεταλμένοις·
Αὐτὸς δὲ προσποιεῖτο ἐκλύτως ἔχειν,
Μήτ' εἰσδῦναι οἷόν τε ἄχθει ἀξίης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐχ ὅττι τοῖος ἦεν ἀλλ' ὅτ' ὠρῴωδει
Μὴ κῦδος ὠλέσειε προσκεκτημένον,
Εἰς Ὀτμάνους ἄριστα δοῦρ' ἀκοντίσας·
Πρὸς τουτὶ τοὔργον ἐς Πετάβιον χωρεῖ,
Καὶ προὐφύλαττ' ἑαυτὸν ἐν καθαρσίοις·
Οἳ δ' ἠρέτιζον Ἰάκωβον ἐκ Ῥίππης
Στόλαρχον οὐ μέγιστον ὧδ' ἀμοιβαῖον,
Παλινδρομήσαντ' ἄρτι ἐκ ναυαρχίης.
Βιάζεται δὲ ταῦτα ἄγγελμα φρικτὸν,
Ἀστυφελίκτου ἐκστρατείας ἁλίου.
Καὶ Φώσκολος κρεῖττόν τι ταῦτ' ἐσκεμένος,
Ἀπηνὲς ὤετ', εἰ ζάλῃ ἐν τοσσαύτῃ
Μὴ ξυμπονῶν δόξειε καμνούσῃ πάτρῃ·
Ἀπέρχεται δ' ἑκοντὶ ἐς Γερουσίην,
Λαβών τε χάρτην ἐγχαράττει καλάμῳ
Πρόθυμον εἶναι εἰς ὅ,τιοῦν ἐντέλλεται,
Δέμας τε δοῦναι προσφορὰν ὑπὲρ πάτρης·
Ὡς αἶψα ἔνθ' ἔσπευδον ἐκπομπὴν τοῦδε,
Εἶγ' αἶψα ἐκστράτευσιν ἔνθεν ἠγκόνουν.
Τῷ γὰρ μέδοντι Κουσαῖνος μηνύει,
Γράμμασιν αἰδώοισι τοῖα μιμνήσκων·
» Πολυχρόνιε τῶν ἀνακτόρων ἄναξ,
» Ἔτος τόδ' ἕκτον, ἐξ οὗ πάσης Κρήτης
» Καὶ κύριον σ' ἔδειξα ἐγκρατῆ θ' ἅμα,
» Ἄνευθε φρουρίων μὲν ἀμφιαλίων,
» Καὶ ἄστεός τε Κρητομήτορος μᾶλλον·
» Ὅσον δ' ἔγωγε πανευδεῖ πεπειράμην
» Αὐτοῦ εἰς ἐκπόρθησιν, αὐτὸς εὖ οἶδας,
» Ὅσοι τε ἐξήλοντο ἐκκεκαυθέντες,
» Οἴδασιν ἔνθα παῖδες ὀρφανισθέντων,
» Καὶ ἦν ἀνεκτὸν εἰ προκόπτω θαρεύσας.
» Ὅσους ἀτὰρ προὔβαλλον ἐκ νεηλύδων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Πάντας μάτην ὅλωλα τειχομαχίῃ·
» Αὐτὸς δὲ κινδυνεύσας ἢ δμὼς ἢ φροῦδος,
» Κἂν δ' ἐκ γαίης ἀπεῖρξα μὴ τροφὰς ἴσχειν,
» Οἵγ' ἐκ θαλάσσης ὅσσ' ἀναγκαῖα κτῶνται,
» Ἐκ Κυκλάδων μάλιστα ὧν ἄρχεις νήσων,
» Καὶ κύριοι νῦν οἵγε ἐγκαθιστᾶσιν.
» Εἰ οὖν θελητὸν ἠδ' ὀρεκτὸν σῷ κράτει,
» Χρειὼ μεγίστης ἐκ στρατείης ἁλίου·
» Οὕτω γὰρ ἄστεός τε καὐτῶν φρουρίων,
» Πόντου τε ἄρξεις, ἢν δ' οὔ, οὐχ ὅτ' οἰκεῖα
» Παντοῖα πείρα, λοιπὰ δὲ ἔρρει τε κράτους. »
Κἂν δ' ἦν νεάζων, παιδιὰν ἀφεὶς ἄναξ,
Οὐχ ἱκανὸς δὲ ἐννοεῖν γεγραμμένα,
Κἀντιλέγοντο ἐς διούανον κοινῇ,
Ὅπερ συνῳδὸν τῇ παρ' ἡμῖν Συγκλήτῳ,
Κοινῇ τ' ἐπευφημεῖτο νοῦς Κουσαΐνου,
Καὶ ἐγγυῶντο ἐκτελεῖν συμφραδμένα.
Ἐν τοῖσι συγκέχυντο ἐν πολιτείῃ,
Διττὼ στόλω τιθέντες ἐν παραλλήλῳ,
Καὶ κέκρικαν σφῶν ἀδρανῆα πρὸς πάλην
Ἀστυφελίκτου τῶν ἀναρσίων ἄλλου·
Τούθ' εἵνεκεν βίαζον ἐκπομπὴν νέαν,
Τὴν Φωσκόλου αὔξουσαν εὐσθένως στόλου.
Κἂν Μωκενῖκος δ' ἔνθεν ἦν ἀφειμένος,
Ὠδαρθάνων μίμναζεν ἐκδεδεγμένου,
Ἔνδειξιν ἔμπης ὧν ἀριστουργημάτων,
Δρᾶν βούλεται πρὶν ἀξίης ἐκδημῆσαι·
Πώμαζε Βοσπόρου δὲ οὐκέτ' ἐξόδους,
Καὶ ναυμαχῆσαι νῦν ἔχον προαιρεῖται,
Κἂν οὐκ ἔλαθεν ὡς ἐλαττοῦτ' ἀνταίοις.
Ὡς δ' ἂν ἀολλέσειε πὰρ πόδα σθένος,
Νῆας προσούσας αἴρεται Θευδωρώ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀναστατεῖ δὲ φρουρὰς ἄμφω ἐκ βάθρων,
Ἐπεὶ δεδοίκει μὴ τὰ πρῶτ' ἀναδράμῃ,
Καὶ νῆας ὠλέσειε φρουρὰς αὐτάς τε·
Ἴσοις τε χερσόνησον ἡξίου μέτροις,
(Τὸ δ' αὐτὸ Ἐστίαν τε ὡς σαφῶς κλύεις),
Ὡς ἄστυ μὴ αὔταρκες ἀντέχειν στόλῳ,
Κἂν πρὸς γαίης ἔδοξε τῶν δυσπορθήτων,
Καὶ συμβίβαζεν ἀστικοὺς συσσίτους μοι·
Εἶθ' οἷα αἴλουρός τις ἐς μυῶν ἄγραν
Ὀπισθοβάμων καὶ ὑπούλως στόρνυσιν
Ἑαυτὸν, οἱ δ' οὐ γνόντες ἀγρώστου μῆχος,
Ἐξικνέονται τῶν ὀπῶν ἀφραδέως,
Αὐτῷ δ' ἀναθρώσκοντι ἄλλοι μὲν βορά,
Ἄλλοι δὲ δειλοὶ εἰσδύουσι σφῶν τρώγλας·
Ὡς Μωκενῖκος πλάττεν ἄλλην ταπέσθαι,
Οἷον δεδοικὼς ἐκστρατείαν Ὀτμάνων.
Αὐτοὶ δ' ἅραντες δεξιῶς Προποντίδος,
Ἵκουσι Χίου μέχρι, ἐγκοπῆς ἄνευ·
Κυθήραθεν δὲ Μωκενῖκος ὤπευεν
Αὐτὰς πορείας καὶ τρίβους ἀναρσίων.
Καὶ Ἀλύτῃ ἄραντι αὖθις ἐκ Χίου,
(Τόδ' ἦν στολάρχου τοὔνομ' ἐξομνυμένου),
Ἀντᾶν κυροῦτο μεμαὼς ναυμαχῆσαι·
Ἡγεῖτο δ' ἑξήκοντα ὡς τριήρεων,
Καὶ ἓξ μεγίστων τῶν μαώνων κλημένων,
Εἵποντο πεντήκοντα νῆες αὖ κοῖλαι,
Καὶ ὁλκάδες πλεῖσταί τε, ἐκ νεηλίδων
Ἐς μυριάδα διπλόην μετρουμένων.
Κατ' εὐθὺ δ' οὐκ ἔτεινε τὴν νέρθεν Τήνου,
Ὡς ἠθάδες τὰ πρῶτα Κύδωνος πλόον.
Τραπεὶς δὲ λαιὰν, καὶ ὑπὲρ νήσου Νάξου,
Ἐνίσχεται πορείαν, ὅσσαν νύξ φέρει,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πάρου πόλισμα πρὸς Κέφαλον κλημένον.
Καὶ ἠσχολοῦντο εἰς ὁδαῖον ὑδάτων.
'Αλλ' ἀμφιλύκη Μωκενῖκος ἐμφαίνει
Εἰς σφῶν στόλου ἴχνευσιν ἵφ' ἑρετμοῦντα.
Καὶ 'Αλύτης ἐξώρμα τῶν πρυμνησίων,
Ἅπερ διδοὺς νήεσσιν ἦγεν ἐνθένδεν,
Προὔθηκε δ' ὡς κρατίστας ἐς ναυμαχίην,
Τριήρεας ῥύθμιζεν ὡς ἔθος πάλιν,
Ἐς σχῆμα ἡμίκυκλον, αὐτὸς δ' ἐν μέσῳ·
Καὶ Μωκενῖκος εἴκοσι πρὸς τρὶς ἄγων
Τριήρεας, τὰς ἕξ τε πεντηκοντόρων,
'Αφείς τε νῆας ἄψ κατὰ πρύμνην κοίλας,
Οὔσας καὶ αὐτὰς οὐ πλέον τῶν τρὶς δέκα,
Χ' ὅς γ' ἡμικύκλου ἀντετάττετ' ὡσαύτως,
Ὄψεις δ' ὁρώντων κόπτε καπνῷ πυρσόῳ.
Μέντοι 'Αλύτης ἐκ μέσου ἀποσπασθείς,
Ἔνδειξιν ἐμποιεῖτο ἤθους αὐθάδους·
Λαβὼν τριήρεις γάρ κεν ἕξ τὰς βελτίω,
Καὶ τὰς μαῶνας, ὡς καλεῖν ἄδε, σφίσιν
'Αριστερὸν πρόσπιπτεν ἐς κέρας στόλου,
Ὃς εἶλαρ ἔσχεν ἔνθα πεντηκοντόρων
Τρισσῶν, ἃς αὐτὸς ἐγκονεῖ δῃοῦν πρῶτον,
Ἐν αἷς ἐφίστων Μαυροκῆνος Φραγκίσκος
Ἔπαρχος εἰς τρισσάς τε κἀν νεηνίσκος,
Καὶ θατέρω τε Μωκενίκων οἰκίας,
Θωμᾶς δ' ὁ μὲν καλεῖτο, Λάζαρος δ' ἄλλος·
Πρὸς κέντρα δ' ἐλάκτιζε, τῆς παροικίας
Πειρητίσας τὰ πρῶτα τῆς ἐμπροσθείης,
Θωμᾶς δ' ἐν ᾗ πρύτανις, εἶτα Λαζάρου,
Καὶ κτείνεται ὁ πρῶτος κατπεσὼν νέκυς,
Ὁ δ' αὖ ἀνεψυχοῦτο κἀν τρωθεὶς κάρκαρ·
'Αλλ' οὐδὲν ἧττον θαμιναὶ κεραυνώσεις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν Ἀλύτην ἔσπερχον ἔνθεν φυγγάνειν,
Καὶ μᾶλλον εἴγ' ἐπαρχίη ἔχριμπτ' ἀλκάζειν,
Καὶ τέσσαρές τ' ἔσκηπτον ἐκ νηῶν κοίλων·
Ματθαῖος εἷς ὢν ἰθυνόντων Καλλέργης,
Γεώργιός τε θᾶτερος Πραιμαρῖνος,
Φραγκίσκος ἄλλος οἰκίας Βικιμάνων,
Υἱῶν μοι ἀγλαΐσμα ἐκ Κυδωνίης·
Τραπεὶς δ' ἐς ἡμίκυκλον ἐζήτει ἄλκαρ.
Ἀλλ' οἵδε οἰηθέντες αὐτὸν διδράσκειν,
Ἤτ' οἷα μὴ φέροντα εἰσβολὴν τόσην,
Πυρεκβόλων ἔκαθεν ἐμβροτούμενοι,
Τὰς νῆας ἐλλείποντες, ὅστας μὴ ἔλκειν
Οἷοί τ', ἀκόσμως τετράφαται ἐς φύξιν·
Καὶ τῶνδε ἠγρεύθησαν ἄρτιαι δέκα,
Καὶ ἓξ γεγῶσαι πυρὸς ἔργον τοὐπίπαν.
Θάμβος δ' ἰδέσθαι οὐδένειαν γαύρων περ'
Ὁρμὴν ὤπευον τὴν τριήρεων ἔνθεν,
Καὶ ἠμύναντο οὐδαμῶς πυρεκβόλοις,
Ἀλλ' ὅπλα ἐκδύοντο, καὶ οἱ μὲν τῶνδε
Νηῶν ἀφ' ὑψοῦ σφᾶς ἔῤῥιπτον εἰς ἅλα,
Ἄλλοι δ' ἀπεπνίγοντο κυλινδούμενοι,
Πολλοὶ δ' ἀνανήχοντο ῥηγμῖσι Νάξου,
Οὔ ἀσφαλῶς ᾤοντο πρόσφυγες μεῖναι·
Οἱ δ' ἀμφὶν Μωκενίκῳ οἰστροῦντες κέρδει,
Χαίρειν ἐῶσιν Ἀλύτην λυσκάζοντα,
Ὃν εἰ δίωκον ἐν τοσαύτῃ ἐκπλήξει,
Τὰ πάντα χειρώσαιντο αὖτανδρα σκάφη·
Ἀλλ' ὃ κράτιστον, πόσον ἂν ἦραν κῦδος
Ἦν Ἀλύτην προὔπεμπον ἄτμενον πάτρῃ;
Οἷς Μωκενῖκος μηνίει, ἀπληστείης
Ποινὴν ὑπερθεὶς ἐν δέοντ' ἀμοιβαίαν.
Τέως ἄγων πρόπαντα τοὐντεῦθεν στόλον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χωρεῖ κατ' εὐθὺ γειτνιαζούσῃ Νάξῳ,
Ταυτῇ προσφεύξαντας ἄρνυσθαι μέλων,
Κἢν οἵδε πειρήτιζον ἀντιταχθῆναι,
Καὶ Μωκενῖκον ἔνθεν ἐγκόπτειν μῆδος·
Οὗ συμπλακέντες ἔφθινον τούτων πλεῖστοι,
Ἀλλ' οἱ ὑπεκδράντες δὲ ἀκμὴν φασγάνων,
Πῇ μὲν σφάλλοντο αἰχμάλωτοι κέντορσι,
Πῇ δ' ὠχυροῦντο ἐς λόφους κἀκρωρείας·
Ἔνθεν δ' ἀπηγγέλλοντο ὡς ἦν αὔταρκες
Θυμῷ ἀκαμπεῖ μὴ κακῶς δρᾶν οὓς ἔτι
Ἤδη πεπιασθέντας Ἄρεως τάρβει,
Ἑκόντας ἂν στόλαρχος ἐξ ὅρων ἴδοι,
Ἑοῖσι ποσσὶ προσπεσόντας προσπόλους,
Καὶ εἰ ἔοικεν οἴκαδε ξυμπροπέμπειν,
Ἥρωα τόνδε προσκαλοῖεν εὐέρκτην.
Ὁ δ' ἀσμένως δέδεκτο κἀφιλεφρόνει,
Καὶ εἶθ' ἱμερτὸν τοῖσδέ πως ἐχορήγει.
Ἐπεὶ δὲ τοὔργον ὡς ἐέλδωρ ἐξέβη,
Καὶ Ἀλύτην ἤκουστο τὴν Ῥόδον πλεῦσαι,
Ἵκει ἐμὴν κατ' ὄψιν ὡς θριαμβεύσων.
Καὶ ἡδόμην κράτιστα χεῖρας ἀθροῦσα
Βριάρεω βρέμοντος ἦσαν ὑστάτην
Αἴσχιστα ἐκκοπείσας ὄγκους τοσούτῳ,
Ἐμοὶ δέ γ' ἐνδειχθείσας εἰς παρμυθείην,
Ὡς εὔστοχον πρόβλημα καὶ νῦν Λυκούργου,
» Κρεῖττον μεσῆεν σὺν πινυτῇ σθένος,
» Εἴπερ κολοσσιαῖον ὁρμῆς ἀφρόνου. »
Ὡς Διομήδην ἴσμεν ἑλκῶσαι Ἄρην,
Κἢν θνητὸς οὗτος, ἰθυνούσης Παλλάδος.
Ἐκ τῶνδε ἐκπυροῦντο μειζόνως Κρῆτες,
Πρὸς Μωκενίκου εὐσέβειαν θελχθέντες,
Καὶ ἐν θριάμβοις ἤντυνον θεραπεῦσαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοσοῦτον ἄνδρα δυσχερῶν ἔρκτην ἔργων.
Νεὼν δ' ἐγεῖραι κέκρικαν, ἐμοὶ δόξαν,
Ἐν ᾧ ἀνευφημεῖτο οἷα εὐέρκτης,
Ἔχει δὲ οὕτω σχήματός τε καὶ κάλλους,
Καὶ οἰασοῦν δύναιντο ἐντίμου ὕλης.

ΤΜΗΜΑ ΙΑ'.

Ἐκτὸς κατ' ὄψιν τοῦ νεῶ δέρκω τάδε·
Ἵν με νεῶν ἄγασαι περιλαμπέα, ὦ ξέν' ὁδῖτα,
Οὐ χεὶρ ἔντεχνος δαιδάλεός τε νόος
Τεύξατο μαρμαρέοισι λίθοις χρυσῷ τε φαεινῷ,
Οἷσί τε γάννυσθαι καπλόος οἶδε νόος,
Οὐ Διὶ ἢ Μίνῳ ἱέρωμαι, ἔθνεα ὥσπερ
Ἀγνοέοντα πάλαι ψευδοκέκλημαι θεούς,
Ἀλοΰσῳ Μωκενίκῳ θεάκελον εἰμ' ἀνάθημα,
Ξύγκειμαι δ' ἔργων ἔκ τε νόμων ἀρετῶν·
Κρῆτες δὲ ξυνέθεντο ἀολοῦντες τὰ ἐκείνου,
Ὧν οὔτις προφερὲς καὶ προέχον τι φέροι.
Ὑφ' ὧν πρόβλημα οὖ λέων ὑπὲρ πύλης·
Ὃν δὲ λέοντα θεῷ προέκτα ἐοικότ' Ἄρηϊ,
Αἰπέος ἱδρυμένον κώνου ὕπερθεν πύλης,
Ὃς καὶ δεξιτερῇ προφέρει ξίφος ἀμφίτομόν τε,
Καὶ πτερόεις δὲ τ' ἐὼν ἄλλεται ἀμπετάων,
Οὐενετῶν πολιτείης φαίδιμος οὗτος ἐπάρχων,
Ὅς γε λόγον πατρὸς τ' ἔσχεν ἐν οἷσι πάρος,
Δέρκε δ' ὑπαὶ πόδε θῆρα ἀνήμερον ἠδὲ πρασώχρουν·
Ὠμὸς ἀπηνὴς θὴρ οὗτος Ὀτμανίδων·
Ἀλοΰσος Μωκενῖκος ἀνὰ Κρήτην θρασυνθέντα
Τοῖσιν ὅπλοις πατρῴοις δῶκε λέοντι πατεῖν.
Ἐντὸς δὲ τούτου δεύτερον πρόγραμμά μοι·
Ἀλοΰσῳ Μωκενίκῳ, ἐπεὶ στρατὸν ὤλεσ' Ὀτμάνων
Μνήμονες οἱ Κρῆτες τόνδ' ἀνέθεντο νεών·
Μέγας δὲ βωμὸς οὗτος ὡς ἀθρεῖς στίλβων,
Ἐν ᾧ θύονται καρδιῶν ἑκατόμβαι.
Βωμὸν ὃν εἰσοράεις περιαυγέα ὧνερ ἀγασθεὶς
Χρώμασιν οὐρανίοις πάντη ἀπεικάσιον,
Οὔτι γε ἐμφάσεις τάδ' ἄστρων ἀλλ' ἀρετάων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἴργων τε κλεινῶν οἷσι σύνεστι νεώς·
Κρῆτες δ' οἱ θύοντες, ἄτερ κνίσσης ἑκατομβῶν,
Σφῶν καρδίας καθαράς, οἷον ὀφειλομένας.
Εἰπὲ πόσων βωμῶν ἄλλων, διενήνοχα ὧνερ,
Ἥρως μοι ὅσσον ψευδοθέων προφερής;
Τέγος νεῷ ψυχῶν τόδ' ἀνδρῶν ἐνθέων.
Ἄττα δὲ γ' ἐμφαίνει ὄροφος δὴ λαμπετόεντα,
Ψυχαὶ ἡρώων αἵδε ἑποιχομένων·
Ψυχὰς ἐπεὶ ἡρώων νοστούσας ἐς Ὄλυμπον
Ἀστερόεσθαι μέν, θεῖος εἶπε Πλάτων·
Ἡρώων Μωκενίκων τόσσον ἔπλητο Ὄλυμπος,
Μηκέτι ὡς ψυχῶν χῶρον ἔχειν κενεόν·
Τοὔνεκα ὅς γε τέτευκται ὅποι αἱ λοιπαὶ ἵδρυνται·
Ἀλλ' ὁπόσος σπινθὴρ κόσμον ἅπαντα φάει,
Αἱ τέσσαρές τε ἀρεταὶ ἥρω τοῦδε,
Αἷς ὡς κίοσσιν ἵδρυται νεὼς ὕπαρ.
Δικαιοσύνη πρώτη ἥρωος φίλη·
Ἅδε ἔγωγε δίκη ἐπὶ δίφρακος ἑδρυάσασα,
Στέμμα τε καὶ χρυσῆν ἀμπεχόην φορέω,
Ἀλλ' ἐπανῆκα γέη, κἂν τε κοτέουσα πέφευγμαι,
Οὐενετῶν δὲ πόλιν προὔκρινα ναιετάειν,
Ὡς δέ γε τοῖσι τιμῆς φέρομαι μᾶλλον Μωκενίκῳ,
Ὅς μοι ἔωργε χρυσοῦν σκῆπτρον ἠδὲ τριτάνην,
Τοὔνεκα τόνδ' αὐτὴ ἄγαμαι, καὐτὸς σέβεταί με,
Ὦ τάχ' ἂν ἴσον μέν, κρείττονα δ' οὔποτ' ἔχω·
Καὶ σωφροσύνη δευτέρα θυγατράσιν·
Ἀλλὰ σωφροσύνη ἄτοκος δηρὸν περιῆγον,
Ἀνδράσι κἂν πλείστοις ἀβροδίαιτος ἔην·
Οὐ μὴν πάμπαν ἐμοί ποτε κἂν μία τέκτετο παῖδα,
Ἀδρανίῃ ἀνέρων ἠγκυμόνουν ἑτέρας·
Αὐτὰρ ἐπάν γε συνῳκείωμαι ἀγνῷ Μωκενίκῳ,
Γνησίας ἠνὶ δέ μοι λοιπὰς ἔτεξ' ἀρετάς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔνθεν τοῦδε προσηνὲς ἰδ' ἀφθονίη σεμνότητι,
Αἰδὼς ξὺν χάριτι ξύν τε φιλοφροσύνῃ,
Ὅσσα τε ταῖσδε ἕπεται, αὐτὸς δὲ νόμοισιν ὑπείκων
Πάνθ' ὑπερῆρε πόσιν καμὲ σαοφροσύνην.
Τρίτη φρόνησις συνδυασθεῖσ' ἀνδρείῃ·
Δόγμα Ἰσοκράτεως ἀΐων φαιδρὸς Μωκενῖκος,
Ἔμφρονα ἠνορέην λυσιτελεῖν βιότῳ,
Κἀκ παίδων ἀρεταῖσι προβαίνων, ὧν πινυτόφρων,
Ἴθυνεν εὖ διέπων λυσιτελοῦντα πάτρῃ·
Ὅς καὶ ἠνορέην περιθεὶς κρατερήν, ὑπὲρ ἄλλον
Οὔτι δέδοικε ποτοῦν ἀντιπάλων ἐνιπάς.
Ἀλλά γε τις παιὰν πολυήρατον ἀνδρὸς ἐς αἶνον
Κρήτεσιν αὐτάρκης ἀντιχαριζομένοις·
Αὐτὸς ἐπείπερ ἑαυτῷ οὔτι γε μοῦνον ἀγήνωρ,
Ἀλλὰ καὶ ἠπεδανοὺς ῥώννυεν εὐσθενέων.
Αἷς ἀρεταῖσιν ὁπλιζόμενος μέγας Ἀλοῦσιος,
Κάββαλεν ἐκ Κρητῶν γαῦρον Ὀτμανίδῃν.
Ἐπὰν νεὼν πέραινον ὡς ἀθρεῖς κάλλους,
Χορείαν ἐστήσαντο ἔνθα καὶ ἔνθα,
Καὶ τῇδ' ἄειδον ἀνδραγαθίας ἥρω.
Αὐδῇ δὲ πρώτῃ συμπεφώνηνται τάδε·

Ἄγε νῦν χέλυς θεουδής,
Κρέκε νῦν λίγεια φόρμιγξ,
Κρέκε ἄμιν ἄθλα ἥρως,
Κρέκε δ' αὖ βίαν ἀθλατᾶ·
Μωκενῖκον ἆσαι ἔλδωρ·
Μωκενῖκον αὖ κλείζε·
Ἱερὸν κλεῖσαι ἔργος
Ἱερὰ προσῆκε μοῖσα,
Ἀπὸ ἀγλαᾶς τε πάτρας,
Ἀγλαοὺς κομῶντ' ἀώτους·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὃς ἐπεὶ καμὼν ἀταρβᾶ
Κατὰ θυμὸν ἀτρόμητος,
Πόνον αἰπὺν ὅς τ' ἀρύσσας,
Ἀέθλων ἀγακλυτῶν τε
Κορυφὰν δρέπων ἀκραίαν,
Ὕπατον δέδεκτο χῶρον·
Ὑπατεῦεν ἔν τε πόντῳ,
Ὑπατεῦεν ἔν τε γαίᾳ·
Ὅθεν ὡς ἔχοντ' ἀμοιβήν,
Θρόνον αἰπὺν ἔκ τε πάτρης,
Χρὴ ἐπαινετῶν τε ὕμνων
Μελέων τε καλλινίκων,
Ἀρετᾶν ἕκατι πασᾶν,
Ἀέθλων δ' ἃ κεῖνος ἔτλα,
Ὁκόταν στρατὸν κατέκτα
Τῶν ἀλαστόρων Ὀτμάνων,
Στονόεντα πολλὰ θέντα
Ἀγανόφροισι βροτοῖσι,
Πολυωδύνῳ δὲ Κρήτᾳ·
Ἐν ἐρισθενῆα δὲ ἀλκᾷ,
Καὶ ἀπροσμάχῳ βίᾳ τε,
Ὀφρὺν Ὀτμάνων καθεῖλεν
Ἰσόθεος Ἀλοΐσος,
Μωκενῖκος ὁ κλεινός,
Ὃς ἔθηκεν οἷς ἑτάροις,
Πυριᾶσθαι ἐς τὰ πάτρας
Μὴ ἀλάστορας πτοεῖσθαι,
Ἀθετᾶν βίαν Ὀτμάνων·
Ὅθεν ὡς ῥύοντα πάτραν
Ἐν ἀκινδύνῳ τεθέντα
Θύγατραν φίλαν τε Κρήταν,
Θρόνον αἰπὺν ἄτε πάτρα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐρύει, πόνων ἀμοιβάν,
Κέρας οὐρανοπρόμηκες
Στέφος ἀξιόχρεων οἱ.
Ἐρύει δ' Ὄλυμπος εὐρὺς
Τιμόεντα χῶρον αἰπύν,
Βρέτας ἱδρύσας τὸ κείνου,
Γόνυ ἔνθ' ἐριχθονῆος
Ῥάπις ἔνθα Ὠρίωνος.

Μες' ἦν χοροῦ αὖθίς τε δευτέρου αὖτη.

Ἐπὶ δίφρεω φαεινὰ
Φαεσιμβρότοιο Φοίβα,
Ἅμα τήνῳ ἑδρυάσθω,
Χαρίεις τε ἠδὲ τερπνὸς
Ἀλοῦσος ἰσόθειος,
Μωκενῖκος ὁ κλεαινὸς,
Περικυκλέητον ἄμφω
Μέγαν εὐρὺν ἀμφίκοσμον,
Ἐϋρωννύητον ἅμα·
Ὁ μὲν εὐαγῆϊ αἴγλᾳ
Καὶ ἀεινάῳ φορᾷ τε,
Ὁ δὲ δείγμασ' ἀρετάων
Ἰδὲ ἐργμάτων φαεινῶν,
Βροτέοισιν ἀγλαΐζων
Πολυπραγμανεῦντα θυμὸν
Ποτὶ οἰάκησιν ἀρχᾶς,
Καθὰ οὗτος ἔν τε πάτρᾳ,
Καθὰ οὗτος ἔκ τε πάτρας,
Ἰθύνων λυσιτελεῦντα,
Καὶ ὄνειαρ ἐς δίκαιταν
Πολιτειάων κυδίσταν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀρετῇσιν ἧς κλυτῇσιν,
Διαμαρτύρονται ἔνθεν
Δαΐδες νεὼ μεγίστα,
Βολίδες τε ἀρετάων,
Ἐναλίγκιαι Ὀλύμπῳ,
Φαεσίμβροτός τε καὐτὸς
Γεγαὼς δίκαν τε Φοίβᾳ·
Μακεδὼν ὑπηκεέσθω,
Δάμε κἂν ἅπαντα κόσμον,
Ὑποχωρεέτω αὖτε
Ἰσάμιλλος οἵ τε Καῖσαρ·
Ἀδρανῆα γάρ κε φύλα
Μερόπων ἔδαμνον οὗτοι
Ἀδαᾶν Ἄρηος ἔργαν·
Μωκενῖκος ὁ κλυτός δε
Ἀλούσσος ἰσόθειος
Ὀφρὺν Ὀτμάνων καθεῖλεν,
Ἀγέρωχον ἠδ' ἀπηνὰν,
Τὸν ἅπαντ' ἐρημοόταν
Κρατερώτερόν τε κόσμον
Ἐν ἀριπρεπῆϊ Κρήτᾳ,
Λυτρόων ἄριστα τήν δε
Πολυμόχθεω λατρείης,
Στενόεντος ἠδὲ ἄλγεος.
Ὅθεν οἵδε ταῦτ' ἀείδειν
Χαρίαισα ἄρτι Κρήτα,
Χαρίαισα καὶ ἐς αἰέν.

Μέγαν δὲ ἄθρει Ζῆνα ἐκ φορᾶς κύκλω
Καββάντα τῇδε, καὶ ὅσων δημηγόρος·
Τέρμα τέθηκαν ἀοιδᾷ, Ζῆνα δὲ Κρητογένεθλον
Ῥόμβον ἀφέντα φορᾶς κύκλω καὶ ἀϊδίοιο,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰσόραον καταΐσσοντ' εὐθὺ νεὼ περιλάμπου,
Ἵκανε δ' ἀμφ' ὄροφον περιαυγῆ ἀστερόεντα,
Ἔστιλβον δ' ἑκάτερθεν λαμπηδόνες ἀγαυοὶ,
Ὡς ἔτι μὴ εἰσορόοντας τούςδ' ἀνακάμπτειν,
Ἀλλ' ἄϊον μεγάλου Διὸς ἀστέρα τοῖα φατίζειν·
Ὅσον ἔμοιγε μέμηλε τὰ πάτρης, Κρῆτες ἄριστοι,
Οἴδατε εὖ ἀρχῆθεν ὑπασπίζοντι ἄριστα,
Ὡς ἂν μὴ διαμάρτῃ εὐτυχέων πτολιέθρων·
Ἀστὴρ μὲν μετεμορφώμην καὶ οὔτι μεθάμων,
Ἀλλὰ Μέλισσον πρῶτον ἔπειτά τε καὶ Ῥαδάμανθυν,
Πρὸς δὲ πάλιν Μίνω τε, τὰ υἱέε ἀντιθέω μοι,
Ὅπασα ὅρρα νόμοισι κάσοιντο θεοπρεπέεσσιν,
Ἦ καὶ δασμοφορῆσαι κλειτὰς Ἀθήνας ὑπῆξα,
Ὡς ἔμμεν προφερῆ ἄλλῃσι περικλεΐτήν τε,
Οἷα Διὸς μεγάλοιο πάτρην μεῦ κυδιάνειραν·
Λύσα δὲ κοιρανίην καὶ ἀμείβω ἐς πολιτείην,
Ὅρρα τὰ Κρητῶν λωΐτερον δὴ εὐτυχέωσι.
Καὶ μὴν τόσον ἐπήρθη βουλῇ εὐνομίῃ τε,
Ὡς ζηλοῦν ταύτην πολιτειῶν Ἑλλάδος ἄλλας.
Ῥώμη ἑαυτῇ ἐπεὶ ἐσκέπτετο τοὔμπαλι τῶνδε,
Τὴν Κρητῶν ἐθέλει κατερείπειν καὶ ὑποβάλλειν,
Πρίν τ' ἐς κοιρανίην ἤμειβεν ἐὴν πολιτείην.
Ἦν γὰρ ὑπόψιος ἡ Κρητῶν μὴ ἐς ὕψος ἀερθῇ,
Πιπτόντων Ῥωμαίων ἐς μῆδος κακόμητον.
Τλῆμι δὲ ταῦτα καὶ ἐς δηρὸν τείναντα ἀνίσχω,
Οἷα μὴ ἀντερέοντα κτήσεσι τῶν ἀρετάων.
Ἀλλά γ' ἐπεὶ μεῦ πατρὶ Κρόνῳ ἐπιήνδανε θυμῷ,
Πάντα κυκᾶσαι καὶ ὠμοῖς ὑπ' Ἄραψι δαμάσαι,
Ἠνεχόμην δὴ πλεῖστά τε τῆς εἰς ἀπφύα αἰδοῦς,
Ἣν παραθεὶς μετέπειτα σαόζω πολλὰ μογήσας,
Καὶ ὑπὸ κοιρανίῃ ὑπέταξά τε αὖ πάλιν ᾗ πρίν.
Ὅρρ' ἀποβαλλομένη ὀδμὴν καὶ κάρβανον ἦθος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ῥᾷστα διευθετέοι καὶ εἰς ἐννεσίην τε ἄμεινον·
Θηεόμην γάρ κεν τὴν Οὐενετῶν πολιτείην,
Αἰὲν ἀεξομένην εὐβουλίῃ ἠδὲ κράτει τε,
Τοὔνεκα συστατέω τὰ ὑμῶν τῇδ' ἔμφρονι οὔσῃ·
Οἶδα γὰρ αὐξομένην καὶ εἰς αἰῶνάς τε διαρκεῖν,
Οἷα δικαιοτάτην καὶ λῷστα πασῶν διέπουσαν,
Οἴδατε δ' υἱέες ἐνδάπιοί μοι, ὅσον ὄνειαρ
Εἵσπετο συστάσεϊ πρὸς φαιδροτάτην πολιτείην,
Ἔνθεν ἐπείπερ ἡ ἀφθονίη ἁπασῶν ἀρετάων,
Θεσμοφόρων ἀνδρῶν ἄγυρις σειρὰ τ' ἀπέραντος,
Ἥ τε σοφῶν τε ἰητήρων διάδεξις ἄληκτος,
Καὶ ἐν ὅπλοισί τε εὐδοκιμηκότες ἄνδρες ἀγαθοί,
Ὡς Κρήτην τελέθειν παρομοίιον Οὐενετίαις,
Οἷα μαθητρὶς ὑπήκοος ἐνταχθεῖσα τιθήνης.
Ἀλλά γ' ἐγὼ πατιόσσομαι Ἑλλάδος αἰνὸν ὄλεθρον,
Θῆρά τ' αἴστώσοντ' ἐρικυδέα οἶκον ἀνάκτων,
Καὶ προτίθημι λέοντα ξιφήρη πτερόεντα
Ἶφι ἀμυνόμενον περὶ ἰθυδίκου πολιτείης,
Ὄρρ' ἄποθεν καταΐσχῃ λώβην ἐσσομένην τε·
Καὶ δὴ θὴρ ὁλοὸς δόμον Ἑλλάδος ἐγκατερείπει,
Πάντα δαμᾷ καὶ πάντα ἀνάστατα φροῦδά τε ἕδρα,
Ἀλλ' ἐτ' ἀκμάζοντα λέοντα πτερόεντα δεδείκει,
Δοῦρυ δὲ ἡκόντιζεν ἐμοῖο φίλης κατὰ Κρήτης,
Ἀλλ' ἄψ τέτραπται τεφρώσας ῥηγμῖνος ἄκραν·
Νῦν δ' ὅτε γηράσκει, πόδες αὐτῷ τε τρομέουσι,
Καὶ λὰξ πλήττειν μήτε διαῤῥησέμμεναι οἷος,
Φλοῖσβον ἐγείρει Ἄρηος ἀτασθαλίῃ τε δόλοις τε,
Καὶ ῥήτρας τε παρασπονδήσαντ' οὔτι ἀπείργω,
Οὔτε ἀμυνομένων ἀλέγω ἀρχῇ παλέμοια,
Ὡς ἂν ὑπεσσύμενος Κρήτης σκολιοῖς λαβυρίνθοις,
Εὖ ἐπιγνοίη τίς τε λέων, τίς Ζεύς τε ἀμύνων·
Καὶ ξενεχώρεον αὐτὸν ἐπέρχεσθαι ἀνὰ νῆσον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ διανύσσεσθαι πέδῃ αὔρεά τε σκιόεντα,
Ἀλλ' ὅτε βούλεται ἅπτεσθαι καὶ ἐμῆς τε τιθήνης,
Δὴ τότ' ἐγείρω τόν τε λέοντ' ἀγαθῆς πολιτείης,
Ὡς μὴ δείδειν μουνομαχῆσαι θηρὶ Ὀτμάνων.
Καὶ δὴ ὁπλίζω τόνδ' εἴπερ ποτὲ μετρίᾳ ἀλκῇ,
Βουλεύω δὲ κατάρχειν ὅπλων κατερόθυμον
Ἄνδρ', Ἀλοῦσον ἀγαυῆς οἰκετίης Μωκενίκων,
Ὅς κεν ἔμοιγ' ἑκέκαστο εὐστεφάνοις ἀρεταῖσι,
Τῇ τε δικαιοσύνῃ, ἀνδρείῃ, σωφροσύνῃ τε,
Καὶ λαμπρᾷ τε φρονήσει, ὡς ἔμεν ἔξοχον ἄλλων·
Ὅσσα δ' ἔωργε κακῶν κατὰ Ὀτμανίδων ἀγερώχων,
Αὐτοὶ ἐστ' ἐπιμάρτυρες, ὁππότε τῇδε ἱκάνων
Ὤθει δυσμενέας τε μακράν, ἐμβαίνειν τ' ἀπείργει,
Καὶ πάντῃ ἀνὰ νῆσον σκιδναμένους καταμάρπτει,
Καὶ κακὰ ποίεε, τούσδε δίωκέ τε ἐξαφανίζων,
Ἑλλοχέοντας δ' ἀμφὶ πόλιν πλείους κατεμπίπρει,
Ἀλλὰ τ' ἐπεσσυμένους θρασέως μάλα τείχεα μακρὰ
Κάββαλεν ὡς κρεῖττον σκέπτεσθαι μηκέτι χρίμπτειν·
Ὅφρα δὲ συμπράξοιμι λέοντι τὰ τοῦδ' ἀέξων,
Πατρί δ' ὁμοῦ τε ἀμύνωμαι δεινῶν παρεόντων,
Ἧνὶ συνῴκισμαι ζαμενεῖ υἱεῖ μοι Ἄρηϊ,
Ὥστε συνημμένοι ἄμφω δοῦναι πράγματ' Ὀτμάνοις,
Οὐχ ὅτι μὴ ἐπιδοίην πάτρῃ τεχνέαντες,
Ἀλλ' ἀπολοῖεν ὅ,τ' ἂν δολίως εἰκῇ τε πέονται·
Ἔνθεν τι Μωκενίκῳ ὠπάσαμεν σθένος ὅσσον,
Ὡς στόλον ἀστυφέλικτον τὸν ποτὲ φῦντ' ἀφανίσῃ·
Τοὔνεκ' ἐγὼ ἠγάσθην τήνδε νεὼ ἐπιοσσόμενος δὴ
Τεῦξιν εὔκοσμον καὶ ὥρην ἀστερόεσσαν,
Οὔτε τι ἀσχάλω ἐπὶ τουτὶ γέρας τεμενισθέν,
Ἀνδρὸς ἐπεμφαῖνον μεγαλεῖον ἄκρον τ' ἀρετάων.
Ἀλλά γε ἐγὼ νῦν οἴχομαι ἐς φορὰν ἀΐδιόν μοι,
Αὐτοὶ δὲ οὐ μὴ λήγοιτ' ἂν Μωκενῖκον ἀείδειν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἴγε λέοντι ἀγαστόν, Ζηνὶ τ' ἔμοιγε χαρίεν,
Ὃς γὰρ τὰ κράτιστος δέρκει ἐπὶ παῖδα ἐπαύξειν,
Αὐτὸς ἐγὼ δὴ πάτρην ἐπιλώϊον αὖτε ἀμείβειν.

ΤΜΗΜΑ ΙΒ'.

Ἐν ᾧ δέ γε Ζεὺς τερμάτιζεν θν λόγον,
Κρῆτες δ' ἀπησχολοῦντο ἐκπομπῆς ἥρῳ,
Τῷ τ' Ἀλύτῃ μέμηλεν ἄλλα ἐκ Ῥόδου·
Νοστῶν ὅπως δόξειε μὴ ἀπρακτήσας
Διαμπερές τε ἐκστρατείᾳ τοιᾷδε·
Ἐπεὶ γὰρ ἐσκέδαστο σύμπας μὲν στόλος,
Καὶ σφάλλεται σκοποῦ τε ἐσχάτης δίκης,
Ὡήθη ἕς τι κἂν σμικρὸν τ' εὐπραξῆσαι,
Ὁμοῦ τε Κουσαΐνον εὐφράναι ὅσον.
Πόλισμά μοι ᾤκισται οὗ τάρβα πρῶτον,
Πλευρᾶς νοτίας τῆς πρὸς Ἀφρικὸν πόντον,
Κριοῦ μέτωπον οὗ ὁρίζεται ἄκρον,
Ὅπερ Σέλινον ὕστατ' ἤκουσται νέοις·
Ὃ Κουσαΐνος προσκεκρουκὼς δὶς τρίς τε
Ἐκκρούεται αἴσχιστα καὶ ὀλεθρίως.
Καὶ Ἀλύτης ἐπεῖδε τῶν δυσπορθήτων,
Ἀλκῆς ἄνευθεν ἐκ θαλασσίων ἔργων·
Τριήρεας γοῦν ἐκπεπόμφει δὶς δέκα
Ὡς πρὸς Κύδωνα, Κουσαΐνῳ μηνύων
Ὡς εἰ ἀπείρηται Κρητομήτορος λῆψις,
Στόλου κακὴν κατ' αἶσαν ἐκσκεδασθέντος,
Μὴ διστάσαντα κἂν Σέλινον πορθῆσαι,
Καὶ μᾶλλον εἰ πρόχειρος ἰσχὺς ἁλία,
Ὡς μὴ τὰ νῦν δύνασθαι ἐκφεῦξαι δίκην.
Ἡσθεὶς δὲ Κουσαΐνος Ἀλύτου δόκῳ,
Πρὸς τοῦτ' ἔργον ἐκστρατείαν ἰθύνει,
Ὡς χιλίων τετράκις ἀνδρῶν εὐζώνων,
Καὶ ἱππικῆς τε τάξεως ἀναλόγως,
Ὁμοῦ δὲ τ' ἐκ Κύδωνος ἔκθορε στόλος,
Ὡς τοῖδε συμπράξοιεν ἁλὸς ἐκ μέρους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ταῦτα ἐσπούδαστο ἄρτι βαρβάροις,
Ἐμοὶ δ' ἄνωθεν πεπρομήθευται ἄλθος·
Ἦκων γὰρ ἤδη Φώσκολος Κυθήρανδε,
Ὁμοῦ μεταστείχοντι αὖθις Γιλδάσῳ,
Ἤθρει τριήρεις ἐκ Κύδωνος αἰρούσας,
Καὶ Κορύκου πρὸς ἄκραν τείνει σπουδαίως,
Ἅπερ Γράβουσα ὄχλῳ ἄδε κικλήσκειν·
Ὃς ναυσὶν ὀκτὼ ἦν ὀχούμενος κοίλαις,
Καὶ ἐκ ποδῶν δίωκεν ἀκρατῶς σκάφη,
Ἅπερ παραλλάττοντα ἕσπερον, λαῖτμα
Περῶσιν Ἀφρικόν· δε ἠφανισθέντα·
Καὶ αὐτὸς μέμεινεν ἐς Σέλινον, θεσπίσων
Ὅσ' ἀμφὶ τοῦτο ἀσφαλῆ ἐς ἀμύνην.
Οὗπερ τραπέντος ἔνθεν Ἀμπαλινόρου,
Κἄν τε σκάφη ὤχοντο θεσμοῦ ἐκστάντα,
Ὡρμημένον στράτευμα ἐκ σκηνῶν ἤδη,
Ἤνωγε Κουσαῖνος ὡς πρόσω στείχειν,
Καὶ τὴς Σελίνου ἐκτρέπεσθαι οὐδόλως.
Ἰθαγενεῖς δὴ πρόσφατ' ὀργᾷν ἀθρῶντες,
Ἔμοιγε πρεσβεύοντο συμμάχων ὕπερ,
Ἀλκῆς ἐναλίοιο καὶ ἐπαρκείης·
Καὶ Μαυροκῆνος δεξιούμενος πρέσβεις,
Ἐπιτρέπει δυάδα ἐκ νηῶν κοίλων,
Οἰκουρίην ἰσχουσῶν εἰς Σελινίους·
Ἵκοντο δ' ἐν δέοντι ᾧ στράτευμά τε,
Ὃ μὴ χρονίζον τὴν ἔπαυλιν εἰσβάλλει·
Ἰθαγενεῖς δὲ ἀντέπραττον τὰ πρῶτα,
Εἶτ' εἰρύοντο ἐς πολίχνην εὐλαβῶς.
Ἐπικρατεῖ δὲ ῥᾷστα τῶν προαστείων,
Οἱ δ' ἐκ πολίχνης ἐξιέντες ἀθρόοι,
Συλλαμβανουσῶν καὶ νεῶν πυρεκβόλοις,
Κἄκτεινον ἀτρόμητα πρωτοπειρίους,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λοιποὶ δ' ἀκόσμως ἐσκεδάννυντ' ἐς πέδον.
Καὶ ῥύεται πόλισμα λώβης ὑστάτης,
Ἐπὰν κατέκτα δυσμενῶν ὡς χιλίους,
Μείζοσιν ἐνδείξεσι τῶν προτοῦ ἄλλων.
Ἐν τοῖσιν οὗς ἔτεινον εἰς Σελινίους,
Καὶ ὦπα εὐθὺ Δίας ἦν τετραμμένη,
Ὅποι ἄφιξιν ὥπτανον τὴν Φωσκόλου,
Συνάμα Γιλδάσῳ τε τῷ ποθεινῷ μοι·
Καὶ ἡδόμην δὴ τῆς ἑκάτερθεν σπουδῆς,
Ἔνθεν κλύουσα ἔργ' ἀριστουργημάτων,
Καὶ ἔνθεν εἰσορῶσα κῆδός μοι νέον·
Ὅποι ἐπὰν ἔγ εντο δεξίωσις εὐφήμως,
Δυοῖν στολάρχαιν ἐμφιλοφρονουμένοιν,
Ἦν Μωκενῖκος ἐντύνων πλοῦν πρὸς πάτρην,
Πομπῇ λαφύρων αὐτὸς ὢν ἦν ἀγρώστης·
Καὶ Φωσκόλῳ νῦν οὐ μέμηλεν εἰσόδων,
Ὡς μὴ ἀνασχεθέντι τοίαν ἰδεῖν με,
Κάλλους ἀτεμβωθεῖσαν, οὗπερ ἠγάσθη,
Εὖθ' ἡγεμών μοι πρὶν κακὰ ξυμβῇ τάδε·
Ἀλλὰ στόλον ῥύθμιζε πρὸς πλοῦν Κυκλάδων,
Ἵν' ἀντίοι αἴσθοιντο, ὡς αὐτὸς κεῖνος
Ὁ Δαλμάταισι πράγματ' ἐσχηκὼς μόθου·
Ἐλθὼν δὲ ἠρευνᾶτο ἐμφρούρους νήσων
Φόρους ἀναινηθείσας εἰσέτ' εἰσφέρειν·
Καὶ Μωκενῖκος εὐλαβεῖτο πορθῆσαι,
Ὡς μὴ ἀναλίσκοιντο ὁπλῖται στόλου.
Πρῶτον δ' ἐς Ὠλέαρον ἔκπλουν ποιεῖται,
Ἥνπερ Λέρον νεωστὶ κικλήσκειν ἔθος,
Δασμούς τ' ἀπήτει, καὶ ἀπειλεῖ φρικώδη,
Αὐτοὺς ἐλαύνειν, ἢν ἀναίνοιντο τελεῖν.
Αὐτοὶ δ' ὑπεστρέφοντο ὑψοῦ φρουρίου,
Καὶ Φωσκόλου ἀπειλὰς οὐ σκέπτονταί πως,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ἠντύνοντο ὡς μαχήσωντ' ἔνθεν.
Πείθοντο γάρ κεν ἐς θέσιν τὴν φρουρίου,
Ὄντος τ' ἐχυροῦ κἀπὶ καρχάρου λόφου,
Ὅπερ κατ' ἀρχὰς ὠχύρουν Γενουάται,
Εὖτ' οἷσι Χῖος δῶρον ἐκ Παλαιολόγων,
Τῶν ἐξ ἀνάκτων ὑστάτων Βυζαντίου.
Γίλδασος οὐκοῦν ἐξάγει, ὡς ἦν σκέψις,
Τάξεις ἐνούσας καὶ δύω πυρεκβόλων,
Καὶ ἐγκαθίστα ἐς τὸν ἀντίκρυ λόφον,
Ἀφ' οὗ κερκύνου φρούριον σφοδρῶς μάλα.
Αὐτοὶ δὲ γ' ἠμύναντο καὶ ὀφειλόντως,
Ἐν ἅμασ' ἑπτὰ, στερῥοὶ ὄντες κἀγαθοί·
Ἐπεὶ δὲ γ' ἐξέλειπε πυρφόρος κόνις,
Καὶ δυσχερὴς σφὶν ἡ ἄμυνα τοὐντεῦθεν,
Στολάρχῳ εὐπειθοῦσι συμμεταγνόντες·
Ἐκβάντι δ' ἐς πόλισμα ἔκλινον γόνυ,
Καὶ κύριόν τε Ὠλεάρου εὐφήμουν.
Κατ' αὐτὰ καββὰς καὶ ἔπαρχος φρουρίου,
Πειθὼ ἐφαρμόττουσαν ἦγε Φωσκόλῳ·
Ὃς δ' αὖ ἐδεξιοῦτο κἀφιλοφρόνει,
Καὶ συνδίαιτον ἀντελάμβαν' ἐν πρώτοις,
Υἱὸν θετὸν δὲ εἰσεποίει τοῦδ' ἴνιν,
Ὃν καὶ καθήγνισ' ἁγιαστείας ῥύψει,
Κἀντωνόμαζε Λειονάρδον ἀντ' αὐτοῦ.
Ἀναστατεῖ δὲ φρούριον κἀκκρηπίδων,
Ὡς μὴ ἐρίζῃ ἔνθα κἄλλοτ' Ὀτμάναις,
Καὶ πλοῦν ἀμείβει ἐς πορίην τὴν πρὸς Κῶ·
Τὰ αὐτὰ ἠπείλει δὲ μηνύων Κώοις,
Παρστήσας οἷς ἔνδειγμα Ὠλεαρίων.
Εὑρὼν δὲ τούσδε ὁρκωτὰς ὡς ἀνενδότους,
Ἐσκέπτετο δρᾷν χεῖρον ἢ ὅ,τι πρώτους·
Καὶ ἐξάγει στράτευμα τοὐνὸν ἐς νῆσον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗ ἐξαγωγεὺς Γίλδασος, καὶ στρατάρχης
Ὅς, οἷά περ γενναῖος, ἀμβολῆς ἄνευ,
Ἐφίσταται μὲν τῇ πόλει ἐνεδρεύων,
Ὡς ἐξ ἁλός τε Φώσκολος περιστρέφων.
Προάστιον γὰρ ἦν δρυμῶδες μὲν πέριξ,
Ἐστεμμένον λειμῶσι δένδρων εὐόδμων,
Οὗ ὁπλῖται φέροντο, θαλπωρῆς χάριν,
Καὶ οὐ μέμηλαν μαχέσασθαι Κῶ πόλιν·
Ὅπερ διασκοποῦντες οἴκοθεν Κῶοι,
Πυρεκβολίσκοις ἐξαπώλεκαν πλείστους.
Ἔμπης πρόνους Γίλδασος αἷς ἀταξίαις,
Τάδ' οὐχ ὅτ' ἠνώρθωκεν, ἀλλά γε πρόσω
Βαίνων ἀφεῖλε πέντε ἐκ πυρεκβόλων,
Οὓς ἔσχον αὐτοὶ ἀντιφράζοντες στόλον·
Ἐδειμάτου δ' ἐκ γαίας ὡς ἄγαν Κώους,
Καὶ ἐκ θαλάσσης Φώσκολος περαυνόων·
Ἀλλ' εὖτε συμπίαζεν ἐς πειθὼ τούσδε,
Τότ' ἐνθυμεῖτο τοῦ ἀναζεῦξαι πρός με·
Θυμὸν γὰρ οἱ ἔθραττεν οὐ παύρων φόνος,
Μάλιστα Ματθαίου μοι οἴκου Καλλέργων·
Ὃς εὖ μάλ' ἀθλῶν ἐκ νεώς, ἧς προστάτης,
Τιτρώσκεταί που κατθανὼν αὐθήμερος·
Τοῖον πότμον Δέπτυνις ἀνδρὶ τοσούτῳ,
Καὶ οὐ κρατῆσαι εἷα μειζόνων ἔργων.
Τοίᾳ τροπῇ Γίλδασος ἠνοχλεῖθ' ὅλως,
Καὶ μέμφεται στολάρχῳ, ὡς ἐσκεμμένῳ
Πρότριτ' ἀπαίρειν ἢ ἔδει Κῶ πορθῆσαι,
Ἐπὰν δ' ἀκούῃ τὴν ὀδείων ἔλλειψιν,
Καὶ πυρφόρον κόνιν τε ἐξαναλῶσθαι,
Βουλῇ στολάρχου φὼς ξυνίστωρ πειθαρχεῖ.
Ἥκων δὲ πρός με δέκτο πομπαῖς εἰσόδων,
Ὧν Μαυροκῆνος ἦν μεμηλὼς ἀρχῆθεν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γίλδασος ὡσαύτως τε κοινῇ κοσμεῖτο,
Ἀρχαῖα ἔργων πᾶσιν ἐνθυμουμένοις.
Οὗ τῇ ἐλεύσει, ἣν χρεὼν Πομπηΐῳ
Διαδρᾶναι οὗ εἶλκεν ἕλδωρ ἀλόχου·
Πομπῆς δ' ἄνευ ἀπέδρα ἢ κροτημάτων
Εἰθισμένων γίγνεσθαι ἠριστευκόσι.
Καὶ Μαυροκῆνος οὐ προσίεται κρότους,
Ἥκιστα εὖ δράσαντι οἷς ἐνεστῶσιν.
Αὐτὸς δέ γ' ἐλθὼν στυγνὸς ἐς πολιτείην,
Μομφὰς παρίστα Μαυροκήνου ἀντίον.
Αὐτὴ αἰσχρὸν εἶεν ἂν καταλέγειν
Τοῦδ' ἀμφὶ ἢ σέσωσμαι οὐλοῶν ἔργων.
Ἔθος γὰρ ἐλλείπουσιν ὧν ὀφλημάτων
Ἐπαιτιᾶσθαι πρακτέων ἐπιστάτας,
Καὶ πλημμέλειαν σφῶν τε αὐτοῖς προσγράφειν.
Καὶ οὐ μόνος μοι ἐγκαλεῖτ' ἀνθύπατος,
Ἀλλ' ἀκροώμενός τε ἀγκύλας δίκας
Γρίτης Ἰωάννης μοι, ὧν νομογράφος,
Μᾶλλον δαήμων κεδνὸς ὢν ἔσχον παίδων,
Ὁμώνυμός τε καὶ γραμματεὺς ἐκ Δανδούλων,
Ἄμφω Ῥιθυμνιάτα ἐκπεφυκότε,
Καὶ Νικόλαος Λευκάρος προμνησθείς μοι
Εὖτ' ἂν ὑπὲρ Λάσιθι ἦν ἡμῖν λόγος,
Παρ' ἀνθυπάτῳ ἄρτι εἷς εὐγνωμόνων.
Πομπηΐος γοῦν ἐγκαλεῖτο τοὺς ἄνδρας,
Τάχ' ἂν συνωμόσαντας εἰς ἐμὴν πτῶσιν,
Καὶ ῥέθιζεν ἐς κότον πολιτείην.
Ὅθεν προμηθευθέντες ἀναγκῶν τόσων,
Ἱερώνυμον στέλλουσιν ἐκ Βραγαδίνων,
Βασανίσαντα ἐν γραφῇ ἁμαρτάδας,
Τριαρχίῃ τε ἀπενέγκαι νοστοῦντα.
Καὐτός γ', ἐπείπερ εἷς πέλεν τῆσδ' ἀξίης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦν ἐγκαθίστων ἐς τόδ' αὐτὸ ταῦτ' ἔργον,
Ἐπικρίνειν ἔμελλε θατέροιν ἅμα.
Διττὰς δὲ νῆας ἤντυνον πρὸς πλοῦν τόνδε,
Ὧν τῇ μιᾷ ὠχεῖτο οὗτος ἐκκρίτως,
Καὶ θατέρᾳ τε αἱρεθεὶς ἀνθύπατος
Νῦν ἀντὶ Μαυροκήνου ἐγκαλουμένου
Ἦν δ' Ἰάκωβος ἐκ Ῥίππης θρυλλητός μοι
Εἰς ὧν διαυγῶν ἀντισήκωσιν ἔργων.
Διετράνου δ' ἔνταλμα τῇδε ἱκάνων,
Ὡς σπεύσας ἔνθεν ἐς πάτρην ὑποστρέψῃ,
Καὶ ὡς ἐνὸν καθάρθαι ὧν ἐγκλημάτων.
Λοιπούς τε καθεῖρξε καὶ γραφὰς πιστοῦν σπεύδει,
Ἃς τερματίσας, νοστίμου πλοῦ φροντίζει,
Καὶ ἦγεν ἀλύσσεσιν ἐς ναῦν εἰργμένους,
Καὶ πρὸς πάτρην ἔτεινεν, οὗ δίκη σπέρχε.
Καὶ ταῦτα ἐπεσπούδαστο νῦν ἀκμῇ θέρους.
Ἦρος δ' ἀπορρεύσαντος ἦν μέρμηρ' ἄλλη
Στολάρχῳ, ἐκπλεῖν αὖ πάλιν πρὸς Κυκλάδας.
Ἦν γὰρ σκοπὸς τῷδ' ἀκλόνητος ἀρχῆθεν,
Ἐς πειθὼ ἕλξαι, δεινὰς ἐς πειθαρχίην.
Ἐς Ἴον οὖν τὰ πρῶτα ἐκπλέει νῆσον,
Κἀντεῦθεν αὖ προὔβαινεν ἐς Δῆλον πάλιν,
Οὗ Σκύρον ἐσκόπευε μαστεῦσαι πρῶτον.
Μαθὼν δὴ Ῥίππαν ἐς Κίμωλον ἱκέσθαι,
Διττὰς ἐκεῖ προὔπεμπε πεντηκοντόρους,
Αὐτὸς δ' ἐνόστει ἐς Κίμωλον, οὗ Ῥίππας,
Ἐν ᾧ τ' ἄλὸς μέγας ἔγρεται κλύδων,
Κἀκινδύνευεν ἦχί περ ξύμπας στόλος,
Σῶος δ' ἔμεινε συστεγασθεὶς ἐς ὅρμον.
Κοίλα μόνη ναῦς, ἡ Βρεγαδῖνον φέρεν,
Ὅλωλε καὶ αὔτανδρος οἰκτρῶς κἀθλίως,
Κἂν ὃς σέσωσται ἐκ προμηθείης Ῥίππα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰδὼν γὰρ ὃν μέλλοντα κατδῦναι πόντῳ,
Τοιῷδε μήχῳ ἀντιλάζεται τοῦδε·
Σμήρινθον ἠσφάλιζε νηὶ οἰκείᾳ,
Καὶ ἄκρον ἄλλο παρδίδωσιν ὁλκάδι,
Καὶ ἐξέπεμπε νηὶ κινδυνευούσῃ·
Ἐντέλλεται δὲ συνδέειν Βραγαδῖνον
Σανίδι, κἀμβιβάσαι αὐτῇ ὁλκάδι·
Εἶτα κρατοῦντος ἀκρατῶς τῆς σμηρίνθου,
Ἐς ναῦν παλινδρομῆσαι ἕλκοντος λάβρως,
Ἄλλως γὰρ οὐχ οἷόν τε ἦν ἂν νοστῆσαι,
Ἐπεὶ βόρειος λαίλαπι ξυμφὺς κλύδων,
Καὶ οἶδμα ἐξορμᾶτο πρὸς ναῦν θραυθεῖσαν.
Ἀλλ᾽ εὐσέβεια ἡ πρὸς ἄνδρ᾽ ἀνθυπάτου,
Προεφθάκει νῦν, συντεχνουργῆσαι τάδε.
Κατασταλείσης λαίλαπος πολυκλύστου,
Ἦν δὴ στόλαρχος ἐντυχὼν ἀνθυπάτῳ,
Κᾄς Σκῦρον αἴρει, ἔνθα ἦν δεδογμένον·
Ὅποι προόπτης Μαυροκῆνος Φραγκίσκος
Ποδηγὸν ἐξέπεμπε πεντηκοντόρων,
Καὶ Σκυρίοις ἐμήνει συντελεῖν φόρους
Ἑκοντί, πρὶν στόλαρχος ἐν βίῃ λάβῃ.
Αὐτὸς δ᾽ ἔναλλος τοῖσδ᾽ ἔπειθεν ἀντία,
Στερρὸὺς ἐπισχεῖν, καὶ ἐς οὐδὲν προχωρεῖν,
Θαρρεῖν θέσει τε, φρουρίου ἱδρυνθέντος
Ἐπὶ σκοπῆς λισσῆς τε ἠδὲ καρχώδους.
Ὅθεν προόπτης ἐκβιβάσας τὰς τάξεις,
Πόλισμ᾽ ἑδήου πυρπολεῖτε τοῦτ᾽ ἄρδην.
Ἦκε στόλαρχος καὶ τυχὼν ἀνενδότοις,
Δυσπείθειαν τόσην δέ, βούλεται στέλλειν·
Καὶ Ἀλμέρικος φαιδρὸς οἴκου Σαβίνων,
Τάξιν Κόμης ὢν Ἰστρίων ἐκ μητρῴας,
Στραταρχικῆς τε ἀξιούμενος τιμῆς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔνταλμα δέκτο, ὡς ἔρυμα δηώσῃ.
Ἕπεσσι δ' οὓς μείλισσεν, οἱ αὐτοὶ δ' οὗτοι·
Πυρεκβόλοις δείδιζε, καὶ ατερρὸι πάλιν·
Ἀλλ' εὖτε ἠσθάνοντο βόμβας κλημένας,
Ἐξ αἰθέρος πιπτούσας, οἷά περ σκηπτούς,
Ῥήτρας τότ' ἐσκέπτοντο, ἠδὲ ξυμβάσεις·
Ὅ,τ' Ἀλμέρικος βούλεται ἐκπορθῆσαι,
Καὶ Σκυρίους κτανθέντας, ἄχρι νηπίων·
Ἀτὰρ στόλαρχος ἠπίως μεταστείχων,
Μηδέν τι φαῦλον τούσδε βούλεται δρᾶσαι,
Ἀλλ' αἰχμαλώτους ταῖς τριήρεσ' εἰργνύειν.
Τέως ἀπηλλάγοντο οἱ Χριστωνύμων,
Φόρους τελοῦντες ἐξ ἑνόντων τιμίων,
Καὶ Μεχμεῖται ἀσφαλισθέντες πέδαις,
Τριήρεσιν διάζοντο ἐς δμώων μοῖραν.
Μόνος ποδηγάς, οἳ' ἀγνώμων ἀντάρτης,
Δίκην ὑποσχὼν ἐν βρόχῳ ἀνηρτήθη.
Ἐπεὶ δὲ χάρμα ἄλλοτ' ἀρχὴ ὠδίνων,
Κλύδων δέ γ' ἐξογκοῦτο, ἀερσιπότης,
Καὶ βύθιον βρυχᾶτο ποιῆσαι στόλον,
Γαιήοχος δ' ὤκτειρε μελλαύστης λώβης,
Κἀσυμποδήγει ἓν μέρος πρὸς πλοῦν Δήμνου,
Ἓν δ' ἐς παροίμους σπερματούμενον νήσων,
Θεόφρονες δ' εἴκαζον ἐκ θεοῦ τάδε,
Τάχ' ἐγκοτοῦντος, τῆς πρὸς ἱερὰ δυσνοίας·
Ἔρυμα γὰρ Σκύροιο καὶ νεὼς μέγας
Γεωργίῳ μάρτυρι ἦν ἱρωμένα,
Ὡς Σκυρίοις οἰκεῖον οὐδὲν ἡγεῖσθαι,
Μάρτυρος ἔμπης πάντα προσκεκλημένα.
Ὅτ' Ἀλμέρικος ἦν ἔρυμα δηόων,
Καὶ ὁπλίται εἶχοντο λαφύρων ἄγρας,
Καὶ οὐθενὸς φείδοντο, ἱερὰ κἂν τάδε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤλδανε δ' ἐμπέδωσιν αὐτῶν σφῶν δόκης
Τριήρεως ὅλεθρος ἐκ πασῶν ἄλλης,
Ἥ πλεῖστα ἱρατείου ἦν κεκρυμμένα.
Δώρων ὑποσχέσεις δὲ μειλικτηρίων
Μάρτυρι προὐτίθεντο ᾗ τρικυμίᾳ·
Ὅτε στόλαρχος τῶνδε εὖ μάλ' εἰδήμων,
Εἰς Σκῦρον αὖ πλωτῆρα βούλεται στόλον,
Ὑποσχέσεις τίσοντα μειλικτηρίων.
Ἅπας δ' ἐνωθεὶς ἐκ Σποράδων Αἰγαίου,
Ὑπόστροφος μέτεισιν ἐς νῆσιν Δίαν,
Καὶ ἔνθεν ἔπλει νόστιμος πρὸς Κυθήραν,
Ὅποι Μελιτῶν αἱ τριήρεων θοαὶ
Ἦσαν μένουσαι νεῦσιν αὐτοῦ παντάρχου,
Χωρεῖν μετ' αὐτοῦ, οὗ ἀνάγκη ἂν σπέρχῃ,
Ὡς μὴ ἂν ὑστερῶσιν, εἴ πού τις πάλη·
Ὁμόστολοι δ' εἵποντο πλωτῆρι πόντου,
Τῷ Βοσπόρου μένοντι ὁρμὰς προσφάτους·
Ἀπαρτὶ δ' ἃς ᾔσθητο ῥαδινὰς ἄλλων,
Ὥστε τριήρεις ἐκβιβασθείσας ἄρτι,
Τὰς δωδεκαρίθμους μὲν οὐχ ὑπερβαίνειν·
Αἳ συντυχοῦσαι ταῖς βεϊκαΐς κλημέναις,
Κλεμμαδὸν ἠμείβοντο Ἴμβρον ἐκ Χίου,
Καὶ αὖ πάλιν πέφευγον ἐς Λέσβον κρύβδην.
Ἀλλ' ἀκριβείᾳ Φώσκολος καραδόκει,
Ἰχνηλάτει τε δοχμίους αὐτῶν τρίβους·
Δρᾷν οἱ δέ γ' ὡς δόξωσιν ἀντίφωνά που,
Εἰς Τῆνον ὡπλίζοντο εἰσβιασθῆναι·
Καὶ δὴ προσίσχον, καὶ ἐδήουν ἀκταίας
Κώμας, ὕπερθεν κειμένας Κολυμβήθρης,
Ὅρμος δὲ οὗτος ὀπτάνων Ἄρκτου μοῖραν.
Μόνους δὲ ἑπτὰ αἰχμαλώτους καρποῦνται,
Ὡς προσφυγόντων αἰπὺ λοιπῶν εἰς ἄστυ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' οὐ πέφευγον δηθὰ ποίνιμον δίκην,
Τίσιν μεγίστην σχόντες ἀντ' ἀνθρωπίων.
Καὶ γάρ τάδ' οὔκ ἔληθε μῆδος Φωσκόλου·
Σφοδρῶς ἐλαύνων ἢ συλοῦντες ἦν βέεις,
Καὶ φυγάδας δίωκεν αὖθις ἐντεῦθεν,
Δήλου δ' ὕπερθεν, ἁλὸς εὐδιαζούσης,
Ἁλίσκεται μία μέν, οἴχοντο δ' ἄλλαι·
Καραπάτακις δ' οὔναμα ἔσχ' ἐπιστάτης,
Ὅνπερ Μελίταις Φώσκολος δεδώρηται,
Οἷα ξυνεργήσασιν εὖ μάλ' ἀγρεύσει·
Οἳ κἀνέκαμπτον γήθε' οἴκαδ' ἁπλέτῳ,
Ἐπείπερ ἦγον ἑπτὰ ἀντὶ ἓξ ἄλλων.
Αὐτὸς δὲ συντέταχεν αὖ πλοῦν τὸν πρός με
Ἐν ὡς λιασθῇ χειμάτων τινὸς λώβης,
Καὶ ὡς ἂν ἀμπαύσειε νοῦν κεκμηκότα.
Βαιὸν δὲ ἦν ἀμπαύσας ᾧδε παρμένων,
Καὶ ἦν χρεὼν δίκαισιν ἐσχολακέναι.
Ῥίπας ἀγήνωρ γάρ κεν, ἔνδικος θ' ἅμα,
Ἀπόκροτός τε, πάντας εἴκοντας θέλεν,
Ὡς ἀξίας τε οὐδενεῖν ξυμφραδμόνων.
Ἁμαρτάνοντας δ' ἦν κολάζων ἐκμέτρως,
Ἔγκλημα κἂν ἥκιστον αἰτναῖον κρίνων,
Καὶ κωπέας καθίστα ὁπλιτῶν πλείους·
Οἳ προὐκαλοῦντο Φωσκόλῳ τὰς προσκλήσεις,
Καὶ αὐτὸς ἡμάλδυνε λειαίνων δίκας·
Τὰ αὐτά τ' ἀμφέροντο ἐς Γερουσίην,
Καὶ χαλέπαινε πρὸς Ῥίπαν ἀπηνείης,
Εἰς χητίσαντας ἐν μάχῃ ἀπειρήτῳ,
Καὶ ἀλκάσαντας ἧς ὕπερ κήδει τόσῳ.
Αἴρουσι δ' ἄνδρα ἀνθυπάτου ἀξίης,
Καὶ ἐγκαθίστον Μάρκον, οἴκου Μυλίνων,
Ὃς ὑπάτευεν εἰς Ἰωνίας νήσους·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παρώτρυνον δὲ προστιχεῖν ὤκιστά τε,
Τάχ' οὖν τιθέντες τἀνδρὸς ὦδ' ὕπαπτά πως;
Ἐμοὶ δ' ἔπεστι στυφελισμοῦ θαυμάζειν,
Ὅπως ἀνὴρ πάτρῃ τε κοινῇ τ' εὐέρκτης,
Καὶ εὐδοκιμήσας τε δυσχερέσσ' ἔργοις,
Κολάζεται νῦν ἐκ σμικρᾶς ἁμαρτάδος;
Ἢ ἀντιμέτρηταί τε καὐτὸς ἐν μέτρῳ
Ναὶ ἀγαθοῦ δ' ἀθῶος ἐκ συνειδότος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ Π'.

Πλειὼν παρερρύη δὲ ἧς ὑπατείης,
Κοὐδὲν σεσημείωτο ἄξιον μνήμης.
Ἔκτοσθεν ἔμπης ἀντύνοντο γενναῖα
Τοῦ καθ' ἕκαστον κοινῷ ἐξυπουργοῦντος.
Οἱ ἐμπόρων γάρ, ἀφνεώτεροι ἄλλων,
Πεπραγματευμένοι δὲ σὺν Γενουάταις
Ὁμοδρόμουν ἱκτῆρες ἐς Γερουσίην,
Καὶ ξυμμάχους ναῦς πρόσφερον τῶν Κελτικῶν.
Τεσσαράκοντα ἐξ ἐνόντων ἀχθείσας,
Σὺν χιλιάσιν ὁπλιτῶν ἓξ εὐζώνων,
Ῥήτρην δὲ προὐτίθεντο λαφύρων πέρι,
Ὡς κυρίους μὲν τῶνδε γίγνεσθαι μόνον,
Αὐτὰς πόλεις δὲ τὰς τυχὸν πορθουμένας
Ὑποστρέφεσθαι εἰς νόμον πολιτείης.
Καὶ ταῦτα συντάραττε νοῦν Ὀτμανίδων,
Καὶ μητιῶντο ἐς διούανον τάδε.
Ὑφώρων γὰρ μειζόνων ὁρμὰς ἔργων,
Καὶ φροίμια κράτιστα ἀλλοιουμένων,
Εἰ γὰρ μόνη ἀθλοῦσα δὴ πολιτείη
Ἄνακτα πρὸς κραταιὸν, ὧν ἂν ἴδμεν,
Ἔτεσσ' ἐπ' ὀκτὼ εὖ ἀγωνισαμένη,
Τί ἄν ποτ' εἴη εἶγε συμμάχους ἴσχῃ;
Πρὸς ταῦτ' ἐπιστραφεῖσιν ἦν σπουδὴ πᾶσα
Τὰ πάντ' ἀνατρέψαι τε καὶ ἀνανασκευάσαι.
Καὶ μὴν ἐδειδίσκοντο ἀρχῆθεν μάχης,
Μή τις ποτοῦν συμπράξῃ ἠδικημένοις.
Πρεσβῆα δ' ἐξέπεμπον εἰς Ἰβηρίην,
Βουλὴν τυχὸν πειρῶντα τὴν βασιλῆος.
Αὐτὸς δέ γ' ἑκὼν πόρθμευεν ἐξ Ἐπιδαύρου
Βραντύσιον δὲ κἄς Νεάπολιν βαίνει,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ ποιμαίνων γνώριζε πρεσβεὺς ὁππόιων,
Κἀντίκρισιν μίμναζεν ἐξ ἀνακτόρων·
Θέσπισμα δ' ἦκε μὴ περᾶν περαιτέρω,
Ἔντευξιν ἐχθρῶν οὐ προσίεται ἄναξ.
Καὶ νῦν δόλοι τε καὶ πάλιν σκευωρίαι,
Οἷς ἦτορ οὐκ αὔταρκες ἀπάτας πλέκειν,
Διαλλαγὰς πλάττοντο καὶ λύσιν μόθου.
Θεσμὸς δ' ἀλλοιὸς οὗτος ἐν πολιτείῃ
Ἐπιῤῥεπούσῃ μὴ μάχαις ἀλλ' εἰρήνῃ·
Καὶ ἁλιείαν τεχνάσαντο τοιάνδε·
Ἐς ἰξὸν ἡρτήσαντο ἄγκιστρον δόλου,
Καὶ θέλκτρον ἐμβάλλουσιν ἐνδομυχέον,
Τήν τ' ἀστρατείαν καὶ ἱμερτὴν εἰρήνην,
Εἰς ἄλα βουλῆς νοῦ τε ἀνδρῶν εὐφρόνων,
Καὶ ἐλλόπευον μῆδος ἐξ ἀλαθήτων.
Ὡς θέλκτρον οὖν δόξειε μὴ ὕποπτόν πως,
Ἰξοῦ μὲν ἐγχείρησιν ἐς τήνδ' ἁλιείαν
Πρεσβῆϊ ἐνδιδοῦσι Κελτῶν σκηπτούχου,
Αὐτὸς δὲ ἦ σύνοιδεν ἢ λέλασταί πως
Αὐτουργὸς ἦ τοιῶνδε, οὐκ ἐξὸν λέγειν·
Οὐ γὰρ θέμις τυχοῦσιν ἔργ' ἀνακτόρων
Ὁποῖα ταῦτα ἐξετάζειν ἀκρίτως,
Καὶ μᾶλλον ἦν ἂν ἐξυμφανθείη κρύβδην·
Ὅπως δέ γ' ἐξέπραττε πρεσβεὺς Γαλάτης
Σαφήτορ' αὐδῆς τοῦ εἰς ἀλλογλώσσους·
Διττοὶ ἑταιρίζουσιν ἐκ Μουσουλμάνων,
Καὶ ὡς τάχος προὔφθησαν ἐς πολιτείην·
Διετράνου δὲ οὗτος ἐντεταλμένα,
Καὶ ὡς μετασταλέντα ἠξίουν πρέσβυν,
Τῆς τ' ἀστρατείης πρόξενον καὶ εἰρήνης·
Οἱ δ' αὖ ἀπαλλάττουσι δεξιωθέντες,
Ἀντίκρισίν τε ἐγκυῶντο ἐγκαίρως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἦν μεγίστη σκέψις ἐν Γερουσίᾳ,
Ποταπὸς ὁ πρεσβείας ἀθρόος λόγος·
Τέως ἐπεσκοποῦντο πρεσβῆος νόστον
Λυσιτελῆ πράϋνσιν ὁρμαῖς ὑσμίνης.
Κἀνηγόρευον ἐκ Καπέλλων οἰκίας
Οὐ πρὶν στόλαρχον, θᾶτερον δ' Ἰωάννην·
Αὐτῷ γοῦν κἄτθεντο δῶρα θυμήρη
Χρυσοῦ τε καὶ γύρου ποικίλας τεύξεις,
Ἐς δαψίλειαν κοιράνῳ παρέδροις τε.
Ἀσκρουΐῳ δὲ ἐν πόλει Λιβουρνίης
Μίμνειν προσεντέλλοντο, μὴ στείχειν δ' ἔγθεν,
Πρὶν ἀκριβῶς γνοίη ἂν εὖ Ὀτμανίδας
Νόον μεταστρέψαντας ἐκ κλοπῆς νήσου,
Ἐᾷν ἐλευθέραν με, οἷς κρατεῖν θέμις.
Ἄλλως δὲ ῥήτρη πᾶσα ἔστω εἰκαία,
Μάτην μόθου λύσις τε κἀκχειρίη,
Καὶ ὡς ἔχει τάχους τε νοστεῖν ἐς πάτρην.
Αὐτοὶ δὲ προσβίαζον οὐδὸν τὴν πρόσω,
Γραφαί τε ἀσφαλείας ἐκ διουάνου,
Διαδρομῆς ἔκατι ὡς πρὸς Βύζην,
Ἀσκρουΐῳ πρόσπιπτον ὡς μὴ δηθύνῃ
Τοίοις πεποιθὼς ἀπατούμενος πρέσβυς,
Διέδρα ἐς Τίβισκα, Μυσίας πόλιν,
Τὴν νῦν Σοφίαν κλῃιδένην νεωτέροις.
Φιλοφρονεῖ δ' ἔπαρχος ἐντίμως μάλα,
Ἄποινα δ' οἱ ὦρξε τέτταρας ἵππων,
Ὁδείας ἐς χρῆσιν καὶ πομπῆς χάριν.
Ἀλλ' οὐκ ἔγνω, ὡς δόλοι τεχνασμάτων,
Καὶ ὡς δυσάρμοστοί τε καρβάνων γνῶμαι·
Ἐπὰν γὰρ ἦσαν γειτνιαζούσῃ Θράκῃ,
Οὐ τοῖσδε Βύζα ἦν σκοποῦ τέρμα,
Ἀλλὰ τραπέντες τὴν βορηΐον μοῖραν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ ποιμαίνων γνώριζε πρεσβεὺς ὁπποίων,
Κἀντίκρισιν μίμναζεν ἐξ ἀνακτόρων·
Θέσπισμα δ' ἦκε μὴ περᾶν περαιτέρω,
Ἔντευξιν ἐχθρῶν οὐ προσίεται ἀναξ.
Καὶ νῦν δόλοι τε καὶ πάλιν σκευωρίαι,
Οἷς ἦτορ οὐκ αὔταρκες ἀπάτας πλέκειν,
Διαλλαγὰς πλάττοντο καὶ λύσιν μόθου.
Θεσμὸς δ' ἀλλοιὸς οὗτος ἐν πολιτείᾳ
Ἐπιῤῥεπούσῃ μὴ μάχαις ἀλλ' εἰρήνῃ·
Καὶ ἁλιείαν τεχνάσαντο τοιάνδε·
Ἐς ἰξὸν ἠρτήσαντο ἄγκιστρον δόλου,
Καὶ θέλκτρον ἐμβάλλουσιν ἐνδομυχέον,
Τήν τ' ἀστρατείαν καὶ ἱμερτὴν εἰρήνην,
Εἰς ἄλα βουλῆς νοῦ τε ἀνδρῶν εὐφρόνων,
Καὶ ἐλλόπευον μῆδος ἐξ ἀλαθήτων.
Ὡς θέλκτρον οὖν δόξειε μὴ ὕποπτόν πως,
Ἰξοῦ μὲν ἐγχείρησιν ἐς τήνδ' ἁλιείαν
Ἡρεσθῆ ἐνδιδοῦσι Κελτῶν σκηπτούχου,
Αὐτὸς δὲ ἡ σύνοιδεν ἡ λέλασταί πως
Αὐτουργὸς ἡ τοιῶνδε, οὐκ ἐξὸν λέγειν·
Οὐ γὰρ θέμις τυχοῦσιν ἔργ' ἀνακτόρων
Ὁποῖα ταῦτα ἐξετάζειν ἀκρίτως,
Καὶ μᾶλλον ἦν ἂν ἐξυμφανθείη κρύβδην·
Ὅπως δέ γ' ἐξέπραττε πρεσβεὺς Γαλάτης
Σαφήτορ' αὐδῆς τοῦ εἰς ἀλλογλώσσους·
Διττοὶ ἑταιρίζουσιν ἐκ Μουσουλμάνων,
Καὶ ὡς τάχος προὔφθησαν ἐς πολιτείην·
Διετράνου δὲ οὗτος ἐντεταλμένα,
Καὶ ὡς μετασταλέντα ἠξίουν πρέσβυν,
Τῆς τ' ἀστρατείης πρόξενον καὶ εἰρήνης·
Οἱ δ' αὖ ἀπαλλάττουσι δεξιωθέντες,
Ἀντίκρισίν τε ἐγκυῶντο ἐγκαίρως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἦν μεγίστη σκέψις ἐν Γερουσίᾳ,
Ποταπὸς ὁ πρεσβείας ἀθρόος λόγος·
Τέως ἐπεσκοποῦντο πρεσβῆος νόστον
Λυσιτελῆ πράϋνσιν ὁρμαῖς ὑσμίνης.
Κᾀνηγόρευον ἐκ Καπέλλων οἰκίας
Οὐ πρὶν στόλαρχον, θᾶτερον δ' Ἰωάννην·
Αὐτῷ γοῦν κάτθεντο δῶρα θυμήρη
Χρυσοῦ τε καὶ γύρου ποικίλας τεύξεις,
Ἐς δαψίλειαν κοιράνῳ παρέδροις τε.
Ἀσκρουΐῳ δὲ ἐν πόλει Λιβουρνίης
Μίμνειν προσεντέλλοντο, μὴ στείχειν δ' ἔνθεν,
Πρὶν ἀκριβῶς γνοίη ἂν εὖ Ὀτμανίδας
Νόον μεταστρέψαντας ἐκ κλοπῆς νήσου,
Ἐᾷν ἐλευθέραν με, οἷς κρατεῖν θέμις.
Ἄλλως δὲ ῥήτρη πᾶσα ἔστω εἰκαῖα,
Μάτην μόθου λύσις τε κἀκχειρίη,
Καὶ ὡς ἔχει τάχους τε νοστεῖν ἐς πάτρην.
Αὐτοὶ δὲ προσθίαζον οὐδὸν τὴν πρόσω,
Γραφαί τε ἀσφαλείας ἐκ διουάνου,
Διαδρομῆς ἔκατι ὡς πρὸς Βύζην,
Ἀσκρουΐῳ πρόσπιπτον ὡς μὴ δηθύνῃ
Τοίοις πεποιθὼς ἀπατούμενος πρέσβυς,
Διέδρα ἐς Τίβισκα, Μυσίας πόλιν,
Τὴν νῦν Σοφίαν κλῃμένην νεωτέροις.
Φιλοφρονεῖ δ' ἔπαρχος ἐντίμως μάλα,
Ἄποινα δ' οἱ ὤρεξε τέτταρας ἵππων,
Ὀδείας ἐς χρῆσιν καὶ πομπῆς χάριν.
Ἀλλ' οὐκ ἔγνω, ὡς δόλοι τεχνασμάτων,
Καὶ ὡς δυσάρμοστοί τε καρβάνων γνῶμαι·
Ἐπὰν γὰρ ἦσαν γειτνιαζούσῃ Θράκῃ,
Οὐ τοῖσδε Βύζα ἦν σκοποῦ τέρμα,
Ἀλλὰ τραπέντες τὴν βορηΐον μοῖραν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐς Ἀδριανοῦ ἀμφιώριζον πόλιν,
Κἀξουθένιζον ὃν φιλοφρόνουν θῶπες.
Οἱ δ' ἀμφέποντες ἐκ διουάνου τάδε,
Τοῦδ' ἄχρι, ὡς ᾤοντο, χωρεῖν αἰσίως.
Καὶ δὴ στόλου δωμητὺς ἔξοδός θ' ἅμα,
Εἶπου τυχὸν λάθωσι νήφοντος μῆδος.
Κἢν Φώσκολος τοὔναντι οὐ νῦν κωλύει,
Ἀλλ' ἔμμεν' ἐν Κυκλάσσι συμπλοκῆς χάριν.
Οἱ δ' αὖ φυγεῖν σπεύδοντες ἄντησιν Σκύλλης,
Οἴκτιστα ἐς Χάρυβδιν ἐγκαλινδοῦνται.
Ἐπεὶ γὰρ ᾐσθάνοντο Φωσκόλου σπουδὴν,
Κατ' εὐθὺ ἠμείβοντο ἐκ Χίου Ῥόδον.
Οὗτος δ' ἐλαύνων, τὰς δ' ὁδοὺς ἐγκαρσίους
Βεβυσμένους κατίσχεν, ὅρμῳ Φυξίμῳ.
Ἦν δὲ στόλος πολὺς μὲν, οὐχ ἧττον ἄλλων·
Τριήρεων γὰρ ἀμφὶ ὀκτάκις δέκα,
Ἐν αἷς συνηριθμοῦντο μαώνων,
Νηῶν δὲ κοίλων τετράκις πάλιν δέκα,
Κἀλλιμένιζον αὗται ὅρμον ἐς πρόσω.
Ἀνώτερον δὲ αἱ τριήρεις πρὸς βάριν
Τυκτὸν Μελίταις, οὗ Κολοσσὸς ἀρχαίοις.
Ὥς Φώσκολος τέτακτο ἡμικυκλόεις,
Καὶ προσκαλεῖτο δυσμενεῖς ναυμαχήσων.
Αὐτοὶ δὲ γ' ἐσκήπτοντο τὴν βασιλέως
Βουλὴν μὴ εἰδειν, εἰ ῥέπειν ναυμαχίῃ,
Καὶ ἀμβολὴν θίζοντο μέχρις ἂν νεύσῃ,
Δαημένος γράμμασιν ὅσ' ὑπὲρ Ῥόδου.
Οὗτος δὲ προστίθησι πεντηκοντόρους,
Νηῶν τε κοίλων πρὸς δυοῖν πάλιν δέκα,
Καὶ ἐκκεραύνου αὐτὸ ἄστυ καὶ στόλον,
Τὰ αὐτὰ κἀμφὶ νῆσον αἴθων θινώδη,
Τὰ πάντα τάττων ἐς παγόλεθρον δέας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦν δὲ στάσις γενναία ἐν στρατηγοῖσιν,
Ἕκατ' ἐδωδῆς, τῶν ὀδαίων βρωθέντων.
Ὁ μὲν γὰρ ἐκ γῆς σχετλιάζει τὸν στόλον,
Ὡς εἴθε μὴ ἔδοξεν ἐλθεῖν ἐς Ῥόδον,
Κοινὴ γὰρ ἐξώλεια ἀμφὶν προσφῦσα,
Ἦν πῶς ἀνεκτὴ, ἐκ μόθου λιμοῦ πάρεστι,
Αἴθ' ὤφελον στέρξοιεν ἀρχῇ μὴ πρόσω,
Ἐπὶ ξυροῦ γὰρ λοιπὰ τὰ κράτους ἄλλως.
Εἰργμένους γὰρ ἴσχεν ἄρτιον μῆνα,
Ἢ ἀμφί που καὶ πλεῖον, ὡς μὴ ἁμάρτῃ,
Καὶ εἶπετ' ὅσα δεινὰ τῶν ἀξυμφόρων.
Ἀλλ' εὖτε προστέλλοντο πάντ' ἐπιτρέψαι,
Τέρας τι συμβάν φασιν εἰργμένων ὕπερ.
Ἐνθουσίαζον ἀμφὶ Φώσκολον πλεῖστοι,
Κολοσσὸν ὀπτάνοντες ἀρθέντ' οὐ πρῶτον,
Κάρκαρ δὲ ὡς πάγχρυσον ἴσχειν καὶ χεῖρα
Καὶ μειδιῶντα Φωσκόλῳ τετρ⟨υ⟩μμένον·
Τί οὖν τὸ μειδίασμα, χεῖρε χρυσά τε,
Ἢ καὶ ὄνειρος, ἢ ὕπαρ τὸ τοιοῦτον,
Οὐ Φωσκόλῳ μέμειλεν, ἑρμηνευόντων.
Ἀλλ' οὖν ἐριννύς τις θεὰ κατουδέων,
Τηλοῦ Ῥόδου μὲν ἦγεν, ὡς μὴ τηρέειν·
Ἔπειθε μέντοι ναμάτων πλεῖν πρὸς χρείαν·
Δυωδεκάδα γοῦν ἐκ νεῶν λιπὼν κοίλας,
Πρὸς πόντον ἔπλει Λυκίης ὡς ὑδρεύσων.
Βουλὴ δὲ νῦν αἰνιγμὸν ἐς ὀνειράτων,
Κἂν ἔμφρονες μέντοιγε τοῦτ' ἠμνημόνουν·
Ὡς γλῶσσα τῶνδε, ἐσθ' ὅτ' ἐξεναντίου.
Ἤοντο δὲ πρόκριτον ἦν μηκυνθέντες
Ἀφῶσι τοῖς δὲ χῶρον ἐκμολεῖν Ῥόδου,
Ἢ καὶ βιασθήσονται ἐς ναυμαχίην,
Ἢ ἐκμολοῦντας ἐκδιώξωσ' ἠχί περ.

Ὡς τῶνδ' ἐχόντων αὖ ἐριννὺς ἐκτρέπει
Μὴ Κάρπαθον τείναντα δυσμενεῖς μίμνειν,
Μέντοιγε τῇ πρὸς Κύπρον ἰθύνειν πρῴραν,
Καὶ νυκτερεύειν ταῖς προκειμέναις νήσοις.
Ἀλλ' οἳ κατορθώσαντες ἐκ τριήρεων,
Ὡς πεντάκις δὶς πέντε, τὰς θοωτέρας,
Κατ' ὄψιν ἐκπερῶσι πόντου Καρπάθου,
Ἄκρον Σαμώνιόν τε δεξιᾷ θέντες,
Ἀνὰ κράτος θάζον ἐς Σέλινόν μοι.
Καὶ δωδεκάδος ἡμερῶν ὀλισθείσης,
Ἀφ' οὗ στόλου ἔκλυσις ἐξ ἐεργμάτων,
Ἠνὶ τρίηρον Φωσκόλῳ ἐξαγγέλλον
Ἤδη στόλου ἔκφυξιν, αὐτὸς δ' ἱπίστει,
Ἢ κᾆν ἄφυκτον δυσφυὲς προσποιεῖτο.
Ῥόδον θ' ὑπερβὰς ἐξεμέτρει αὖ νήσους,
Πάσας δ' ἀμείψας πλοῦν πέραιν' ἐς Κυθήραν.
Τοιαῦτα Κουσαῖνος εὖ πεπεισμένος,
Ἠπειγμένος προὔπεμπεν ἀρηΐους τάξεις,
Ὡς ἂν Σελίνῳ συμπέσωσιν ἐσάπαξ
Σὺν ἁλίοισι καὶ πρυλεῖς καὶ ἱππέες,
Ἐπεκράτουν δὲ δυσχερῶν ὧν μὴ πρόσθεν,
Μὴ ὄντος ἐξείργοντος ἐκ μέρους πόντου.
Καὶ γὰρ κακῶς σκήπτοντες ἐν πυρεκβόλοις
Ἔνθεν καὶ ἔνθεν φρουρίου κἀπάλξεως,
Ἐπ' ἦμας' ὀκτὼ τάττον ἐς δυσελπίην·
Ἀνατραπέντων γάρ κεν ἀμφὶ κρηδέμνων,
Πλεῖστοι ἔπιπτον κατθανέντες οἴκτιστα·
Τούθ' εἵνεκεν δίζοντο ἐλθεῖν ἐς ῥήτρην,
Ἐπιτρέποντες φρούριον, σώζεσθαί που·
Οἳ δ' ἀσμένως αἱροῦσι, καὐτοὺς μὲν σώους
Ἀλλ' αἰχμαλώτους, ὧν δέοντο σφαλλέντας,
Οἷα θρίαμβον συντηρεῖσθαι ἦχί περ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὑμῖν δὲ μᾶλλον οἶδ' ὅσον πέπληκταί πως·
Καὶ εἰμὴ αὐτὴ ἡ θαμὰ παραμυθοῦσα,
Αὐτοὶ ἔοιτ' ἂν οἱ ἀλυσκάσαντές μου,
Καὐτή τε νοσφισθεῖσα ἡμῶν ἀμύνης,
Οὐκ ἐκφυγεῖν ἂν οἷα Ὀτμάνων ζεύγλην,
Οἷς αὐτοὶ ἀνθίστασθε θάρσει ἀτρέπτῳ,
Ὡς δ' ἄν με μὴ οἴκοθε ἐς λάθος θέσθαι.
Ὑμῶν κύδιστα ἔργ' ἀριστουργημάτων
Εὖ μοι σέσωσται μνεία οὔτ' ἀμαλδύνει,
Ἐκ ῥήξεως μάλιστα τειχῶν ἀμύνης,
Ἦ γ' ἐντόνως βέβλητο δυσμενῶν ῥύμῃ,
Κἂν ὦδ' ἐπεισπέπαικε λάθρως κἀσκέπτως,
Φίλτρον δὲ τὸ πρός μ' ᾧ πεπύρωθ' υἱέες,
Συμμαρτύρονται ὅσ' ἔτλητε ἐμοῦ χάριν,
Καὶ ὅσ' ὑμῖν μέμηλε μή με δουλοῦσθαι,
Ἀλλ' ἐγχαράξω τῇδε ἀμπεπασθεῖσα,
Ὡς μὴ παραδράμοιμι ἔργμα γενναῖον,
Ὑμῖν δ' οὐχὶ ταῦτα, οὓς' αὐτουργοῖσιν,
Ὀπιστέροις δ' ἔνδειγμα ὡς εἴη μέγα,
Ὀφλισκάνουσι δηριᾷν ὑπὲρ πάτρης.
Ἔθος γὰρ ὁπλίταισι τοῖς μισθαρνέσιν,
Εἰ λάτρον οὐ πρόχειρον εἴη εὐκαίρως,
Συστασιάζειν καὶ κυδοιμεῖν ἀσκέπτως·
Ἰλλυριῶν μέμνησθε ἄκριτον μῆδος,
Οἳ οὐδαμῶς σκεφθέντες οἷοι τὴν τύχην,
Οὐδ' ὅττι τευτάζουσιν ἐς πολιτείην,
Ἐν ἦγε δεινὸν συγκροτεῖν ἀνταρσίην,
Ὡς ἀκρατῶς πείρησαν ἀρχαίων ἄλλοι
Καὶ ζημίην ὑπέσχον ἐνθέου δίκης,
Ἄτακτα οἰστρήθησαν ἐκβακχευθέντες,
Ἀνὰ πτόλιν δ' ὥρμηντο ἐξωπλισμένοι,
Κλαγγῇ δ' ἔκρωζον ὡς γεράνοις εἰκάσω,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ συμφορῶν ἐνειπὰς αὐτοῖς ἀρχοῖς τε.
Ἀεὶ δὲ τοῖσδε σκῆψις ἔλλειψις λάτρου·
Πολλοὶ δέ γ' ἠπείγοντο κυδοιμὸν στέλλειν,
Γεώργιος μάλιστα ἐκ Κορνηλίων,
Καρήϊος Γίλδασος, οἱ ἐρασταί μοι,
Καὶ Νικόλαος ταξίαρχος ὢν φύτλης
Τῆς σφῶν, ἐπίκλην Μῶτος· οἵ γ' ἔφιπποί τε
Μειλιχίοις ἔπεσσι πείθειν πειρῶντο
Τῆς στάσεως ἴσχεσθαι, ἀτρέμας τ' ἔχειν,
Καὶ μὴ ἑκοντὶ ὡς κἀκεργέτας θνήσκειν·
Ἀβέλτερος γὰρ πεῖρα τῶν ἀδυνάτων,
Ἢ ξυμφύειν εἴωθε λώβας ἐξώλεις.
Αὐτοὶ δ' ἀεὶ κλάγγαζον ἔκδοσιν λάτρων,
Κάρειαι ἠπειλοῦντο καὶ περαιτέρω,
Ὥστε προδοῦναι κἀμὲ τήνδ' ἀναρσίοις.
Ἐπὰν δὲ Μαυροκῆνος ἀνθύπατός μοι,
Ἰλλυρίους ἤσθηται οἰστροδινήτους,
Ἀρχηΐου ἔξεισι συγκεχυμένος,
Μάτευε δ' ἀσπέσοντας ἢ τρικυμίᾳ,
Ὡς μὴ ἑαυτῷ εἴδῃ ἂν συνδούλην με·
Ἀλλ' εὖθ' ὑμῶν δέδερκεν ὡς τρισχιλίους
Ἐν ἀκαρεῖ συστάντας εἰς ἀρχοῦ ὄψιν,
Διζουμένους ἄδειαν ἐκδίκου μάχης,
Ἐρυμένης μὲν ἄμμιγ' ἀρχοὺς καὶ πόλιν,
Αὐτὸς τότ' ἠγάσθη μὲν εὔνουν τὸ πρός με,
Κἀμετρίαζεν οἰστροδινήτων λύσσῃ,
Ὡς μὴ ταλαντεύοιτο τἀμὰ καρσίως.
Ἀλλ' ἠγάμην κἄγωγε διττὰ ταῦτ' ἔργων,
Προθυμίην πρώτιστα ἐνδεικνυμένων,
Ὑμῶν μεγάθυμόν τε εἰς Ἰλυρίους·
Δύω γὰρ αὐτῶν στασιάρχας εἰργμένους,
Ξυμφράζεται στόλαρχος ἀρτᾶν ἰκρίῳ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παραδειγματίζων οἳ ἀμοιβὴ ἀντάρταις,
Αὐτοὶ δ' ἐν ὄψει προσπεσόντες Φωσκόλου,
Ἠτήσατε προσῆκται αὐτοὺς μὴ ἄγχειν,
Ἐᾷν δέ γε ζῆν, κἂν ἀσέλγειʼ ἐς κράτος.
Τοιαῖσδε ἐνδείξεσιν ἄλλοι θρεπτῶν μοι,
Διατρίβοντες Ἀμφιμάλλου φρουρίῳ,
Καὶ θατέρῳ Πανόρμου ὁπλιτευάντων,
Εἰς Ἰταλοὺς πράσπιπτον εὐτόνως μάλα,
Τὰ ἴσʼ ἀσελγήσαντας ἔνθα καὶ ἔνθα.
Πρὸς γὰρ προόπτας οἳ διήραντες κάρκαρ
Ἀρχήϊα σκόπευον ἐκπέρσαι πρῶτον,
Ἐφγμένων πτυχῶν δὲ εἰσδέχθαι σίντας.
Ἀλλʼ οὗτοι εὖ εἴδησαν, οἷον σφῶν χρέος,
Ἦτʼ ἐς πάτρην ἄμυνα καὶ τοὺς ἐν τέλει,
Καὶ ἀντεμαχέσαντο οὐχ ὑμῶν ἧττον.
Ὁ δʼ ἐκ Μαρίνων, ὧν προόπτης Πανόρμου,
Τὼ στασιάρχα δεσμίω τῷδʼ ἐκπέμψας,
Ῥίπας κατεψηφίσθη οἷν λυγρὸν πότμον,
Πυρεκβολίσκοις καττιτρωθέντοιν δέμας.
Ὁ δʼ ἐκ Διήδων Ἀμφιμάλλου θατέρῳ
Ἑλὼν τετιμώρηκε τῷ αὐτῷ φόνῳ.
Καὶ θρῦλλος ἀμφέπτατο αὐλαῖς κοιράνων,
Τοιῶνδʼ ἕκατι ἐργμάτων ἀοιδίμων,
Ὅ,τʼ ἐκ Ῥίπης τάδʼ ἀμφέρων Γερουσίῃ,
Διετράνου πρὸς τοῖσδε πίστιν ἀκλινῆ,
Καὶ τληπάθειαν τὴν ἀθέσφατον Κρητῶν
Ὑμῶν, ἐπὶ πλειῶσιν ὀκτὼ εἰργμένων
Ἐν ἀμφιβλήστρῳ τῷδε μηκίστου μόθου,
Ἐν ᾧ ἀνηλώθησαν οὐσίαι πᾶσαι,
Κόσμων πολυτέλεια αὐτῶν ἀλόχων,
Παίδων διασκευαί τε φερνῶν τιμίων,
Ὧν χῆτις ἦν ψαύουσα ἄχρʼ ἐλασσόνων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κἂν δαψίλεια ἡ πολιτείης πλείστη,
Δαθουμένης σιτισμὸν ἄχρι νηπίοις.
Τάδ' ἠκροῶντο εὐμενῶς Γερουσίη,
Κ' οὐκ ἀστενακτεὶ μητιῶσι τῶν δ' ὕπερ,
Πῶς ἂν τοῦ νῦν ἄψοιντο κρείττονος τύχης,
Εἴπερ κρατεῖν ἐθάδες ἔργων νηΐων.
Καὶ ἠτένιζον Μωκενίκου πρὸς πράξεις,
Ἀσυγκρίτους φυείσας ἐς τάςδ' ὀχλήσεις.
Ψῆφοι δ' ἐσωρεύοντο τῇδ' ἀναῤῥήσει,
Σύμπνοιά τε ξύμβαινε συμπεφραγμένοις.
Εἰκὸς γὰρ εἰρυθέντα μ' ἐσχάτης λώβης,
Ὑποσχεθέντα Κουσαΐνῳ τ' ἐκτροπήν,
Καὶ δεύτερον κληροῦσθαι ἐς στολαρχίην.
Τάδ' ἐκροτεῖτο χειμόνος πολιτείῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ ΙΔ'.

Ἦρος δέ γ' ἔνθα Φώσκολος ζηλοπνεύσας,
Ἐς Βοσπόρου φίμωσιν ἐκνοσιλεύει,
Κἂν Κυκλάδας δίχαζεν ἐφθακὼς στόλον.
Προὔπεμπε γάρ κεν ἐκ τριήρεων ὀκτώ,
Δυοῖν δ' ἃς ἐρρώνυε πεντηκοντόροιν.
Ἦν δ' ἡγέτης ὕπαρχος Ἀδρίης κόλπου,
Ἐξ οἰκετείης Μαυροκήνων Φραγκῖσκος,
Ναύαρχος ὃν δέδεκτο ἐν Δήλῳ μίμνων,
Ἡγούμενος νήεσσιν ἓξ πρὸς τοῖς δέκα.
Καὶ ἦκον ἐν δέοντι, οὗ παραίφασις.
Ἦν δ' οὗτος Ἰώσηπος οἴκου Δελφίνων,
Ἀοιδίμου παῖς Ἀνθυπάτου μοι πρώην.
Βέβυστο γοῦν κάλλιστα χρῆμα Βοσπόρου,
Φρικτοῖς ὅτ' ἀλγύνοντο ἐκ διακτόρων,
Ἐπεὶ κατεγγυῶντο παμπληθῆ στόλον·
Ὅθεν τριήρεις Δελφὶν ἦν ἀπαλλάττων,
Ὡς περ μὴ οἷας ἀντέχειν πρὸς ἁπλέτους.
Φραγκίσκος ἔμπης οὐ προσίεται βουλήν,
Ἀλλ' ἐσκόπευε τῆς στολάρχου μὴ πταίειν.
Δελφὶν δ' ἐκυλινδεῖτο βεβρεμηκόσιν,
Αὐτῷ τ' ἐδήλου καὶ ἐπεστάλκει τάδε.
« Εὖ οἶδας ὅσσα ἐν Ῥόδῳ μετεστράφη
» Ὡς ἀντὶ τοῦ γενέσθαι ἀρχικοὺς νήσου,
» Ἡμεῖς στόλου τε καὶ ταμείου χρυσόου,
» Αὐτοὺς φυγεῖν εἴωμεν ἢ σκοπὸς κλήτωρ,
» Ἐπαίτιον τοσῆσδε λώβης κῴλέθρου,
» Τῷ μὴ θέλοντι μητιῶντός μου κλύειν,
» Ὑποσχεθέντος εὖ μάλ' ὠρεῖν λιμένε
» Μόνοις δέκα πρὸς δυσσὶ νηῶν μοι κοίλων,
» Ὡς πείρας οἵας δήπερ αὐτοὺς σφαλέσθαι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Ἄλλως τ' ἐπείγειν μὴ προδόντας ὠλέσθαι,
» Βουλὴν διώθου, καὶ προσίσχου ἀκρίτῳ·
» Νῦν δ' οὐκ ἀνάβλησίς τις ἢ τριβὴ ἔστω,
» Ἀλλ' ἦκεν ὡς τάχιστα ὡς ἐπαρκέσων,
» Οἴου δὲ ὡς ἀλλοία ἔκβασις Ῥόδου,
» Ἄλλη δέ γ' ἐπίσκεψις ἡ νῦν Βοσπόρου.
» Αὐτοῦ γὰρ ἦν ἄμοιρα ὅσσ' ἐπειράθη,
» Ἀλλ' οὔτε ὠλέκαμεν ἐκ κεκτημένων,
» Ἡμεῖς τε αὐτοὶ οἵ τε νῦν καὶ οἱ πρώην.
» Ἐμοῦ στόλος δ' ἦν ἐξιὼν κατισχύσῃ,
» Οὔτ' αὐτὸς εἶης ἀσφαλὴς ὅπου δήπερ,
» Κἀπὶ ξηροῦ τε τἀπίλοιπά τε κράτους.
» Συνημμένοι δὲ ἀντιτακτοὶ ὁπποίοις.
» Ἐπεὶ σθένους ἕνωσις εὐσθενεστέρα. »
Αὐτὸς δὲ οὐκ ἔκλυεν ἦχου γραμμάτων,
Ἀλλ' ἦν φυεὶς Φάσκωλον ἀντὶ Φωσκόλου,
Ἐν ᾧ καθείργνυ ἀσφαλῶς ὑπομνήσεις,
Καὶ ἐπλανᾶτο εἰς Ἀχαΐας μοίραν,
Καταρτίσας ὄνειαρ οὐδὲν ἐν πλάνῃ.
Ἐν τοῖσιν ἐκτὸς ἦγετ' ἠρέμα στόλος,
Περισχεθεὶς τὰ πρῶτα Σηστοῦ ῥηγμῖνι·
Τῇ δὲ ὑστεραίᾳ ἐκλονεῖτο πυρπνόα,
Ἄρκος ὀξύναντος ἔνθα ἦδ' ἔνθα.
Τοὐντεῦθεν οὖν ὥρμηντο φρυαγματίαι,
Δελφῖνι δ' ἠνίττοντο μὴ ἀνθιστᾶναι,
Σκεφθέντι ἐκστρατείην ἡλίκου στόλου·
Τριήρεας γὰρ ἔσχε τετράκις δέκα,
Νηῶν τε κοίλας ταῖσδε ἐξισουμένας,
Ὀκτώ τε πρὸς τοιαῖσδε κλητὰς μαῶνας,
Τρίηρά θ' ὡς ἑκατὸν εὐτρεποδρόμων·
Ἐν ᾧ δέ γ' ἠριθμεῖτο, Δελφὶν τὰ πρόσω,
Τραπεὶς ὄπισθεν, ἐσκοπεῖτο προσφύσεις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρὸς γὰρ Σκάμανδρον νέρθεν ἄκρου Σιγαίου,
Ἐφώλευον σκάφεσσι πρὸς πέντ' Ἀλγίρης
Ἀποστολῆες, εἴκοσ' ὄντες ὡς ἔθος,
Νηῶν τε κοίλων τέσσαρες πρὸς αὖ δέκα.
Ἐπὰν δὲ εἰς ὕσπληγκα εἴσβαινε στόλος
Καὶ τοῖσι πρὸς Δελφῖνα βαλβὶς θατέρα,
Ἀμφοῖν γὰρ ἡ πρόσκρουσις εἰς ἓν ὠμάρτει,
Καὶ Δελφὶν ἐσκοπεῖτο ἢ δμὼς ἢ νέκυς,
Ἀλλ' ἔβρεμ' ἀντίφθογγος ἠχὼ κἀντεῦθεν,
Βριμᾷ δὲ δεινήεντα βεβριμημένοι.
Δελφὶν γὰρ οὐ δέδοιεν οὐδαμῶς τάδε,
Ἀνδρὸς δ' ἀρίστου μᾶλλον ἐνδείξεις ἔρξας,
Κἀγήρεον μέμαεν ἄρασθαι κῦδος.
Σύνταττε γοῦν εὔτακτα τὰς χύδην νῆας,
Εἰς ἀμφίκυρτον σχῆμα, πάγχυ παῦρας περ
Πρὸς ἄσπετον στόλον μὴν ἱστορημένον,
Πέντε τριήρεις ἐμφύτευεν ἐν τῇσι,
Δύω δέ γε προὔταττε δυσσὶ σὺν κοίλαις,
Ἐξ ὧν ἡ Ἀδμήραντος, οὕτω κλημέναν
Ἄκρης ἐόντος ἀξίης μετὰ πρῶτον.
Εἰς τάς δε γοῦν ἔγεντο εἰσβολὴ πρώτη,
Κἀπεισπέπαικε πᾶς τε κ' ἀθρόος στόλος,
Ἀλλ' ἀντιλακτιζούσας, εὗρον δυσπλήκτους,
Καὶ μᾶλλον ἐπλήττοντο ἢ πεπληγέναι.
Ἐκ γὰρ νεοῖν τε, ἔκ τε πεντηκοντόροιν,
Σκηπτῶν δίκην ἔσκηπτε πῦρ πυρεκβόλων,
Ὡς αἱματοῦσθαι κῦμα ἐκ κτανειμένων.
Καὶ φασὶν ὡς τρίηρα γῆς ἐκ Τρωάδος
Νεήλυδας πόρθμευον ἐς πληκτὸν στόλον,
Ἀπαρτίσοντας τόνδε ἀντικτανθέντων·
Οἱ δ' ἤμυναν σφᾶς εὖ μάλ' ὁρμῆς τοσσῆς δε,
Αἰὲν δοκοῦντες ἄλκαρ εὕνουν κοινόνων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

'Αλλ' οἱ πεταννύοντες ἱστίων λαίφην,
Οὐκ ἴσχυσαν ἀπαρτὶ τούσδ' ἐπαρκέσαι·
Ῥοὸς γὰρ οἷα λάβρος ἐκ Προποντίδος
Ἄλλην τρέπεσθαι μὴ προσεῖναί τε σπέρχει,
Παρεγγυᾷ δὲ ταῦτα θάρσος ἀντίοις,
Καὶ ῥᾷον ἁλίσκουσιν ἐκ τριήρεαιν,
Πρὸς χάριν ἣν ὥπλιζον οἱ Παταβίου,
Ἣ Καπολίστης εἷς ὑφίστα ἐξ αὐτῶν.
Καὶ θάτερα παιδός μοι οἴκου Μουδάκων,
Νήκεστα ἣν πλήξασα, κοίλην κητώδη,
Ἴθρει ἁλὸς βένθεσσι συμβυθισθεῖσαν·
Συνισχεθεῖσα δ' ἄγχι πεντηκοντόροιν,
Ἀπήεσαν ἄμμιγα εὐρὺν ἐς πόντον,
Ὅπου συνῆντον ἐκ ῥόων βιασθείσαις.
Ὁ 'Αδμίρας δὲ μηκέθ' ὁρμὴν ὀτλάσας,
Πίμπρησι νῆα, καρτερόφρων οἷάπερ,
Αἱρούμενος μᾶλλόν τε συγκατεφλέχθαι,
Ἢ δμὼς ἀναρσίοισι πώποτ' οἰεῖσθαι·
Φραγκίσκος οὗτος Μαυροκήνων οἰκίας,
Ὅτου περ ἐνδείγμασσι κοινὼν Μυλῖνος,
Τὰ αὐτὰ ἠρέτιζε πάτρης ἐκ φίλτρου·
Οὓς αἴθριον πῦρ δέκτο πυρπολουμένους.
Ἥμός τ' ἀποστολῆες αὐτοί τ' 'Αλγήρης
Στρατηγίδ' ἀμπίσχοντο, κἀδεῶς βάλλον·
Ἄρωντο γὰρ ῥᾴστα κἀμόχθως ἄραι,
Μόνην μένουσαν καὶ ἀρήξεως ἄνευ.
Οὔτ' εἴκαθ' ἔμπης Δελφὶν, οὔτε ὠῤῥώδει,
Ζεύξας δὲ ἁλύσεσι τὴν ἐπαρχίδος
Πρύμνην ἀφαυρὴν ἀσφαλῇ σὺν οἰκείῃ.
Μάρναντο ἀντιῶντες εὐτόνως μάλα,
Κἀποστολῆες ἴσχανον τυτθὸν λύσσην,
Ὤζοντες ἀντίκρουσιν εὐσθενεστέραν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ἐξ μαῶναι ἐκ στόλου διϊστᾶσαι
Ἐφικάνουσιν εἰσβολῶν ἐν συμπράξει,
Καὶ προσπέπαικον εἰς ἐπαρχίδα πρῶτον,
Ἣν ἐκκεραύνουν ἀθρόως πυρεκβόλοις,
Σχεδὸν καταφθείραντες αὔτανδρον σκάφος.
Ἐπεὶ δ' ἔπαρχος πᾶσαν ὤλεκ' ἐλπωρήν,
Ἄμβαινε πρύμνην νηὸς ὡς σαωθείη,
Τρωθεὶς ἀτὰρ σφαιρίσκῳ ἤρειπ' ἐς πόντον.
Κτέρος δὲ ἦν εὐέρκτῃ ἄστεγον κῦμα,
Κἂν πορφυροῦν σκευασθέν, ἐκ θείου τάχα,
Αἵμασσ' ἀπεχθῶν, ὡς χρεὼν τοῖς ἐν τέλει
Κτέρη τελεῖσθαι πορφυραῖς ἐν θυμέλαις.
Τριήρεως δὲ κινδυνευούσης ἄκρως,
Ἀρήγονες πέφευγον ἀμβάντες νῆα,
Μὴ ἀντέχειν οἷοί τε εἰσπηδήκόσι.
Δελφὶν δὲ λαῖφος ἱστίων ἀναπτύξας
Νεανίσαντας πλῆττε μείζοσ' ἐν μέτροις,
Ὡς μᾶλλον αὐχήσαντας ἐς στρατηγίδα.
Οὓς ἀντὶ γαύρων ἔρξε συγκεκυφότας,
Οὗ ὁπλίτας σκέπτοντο ἐκ κεκαυμένους.
Ἔπλει δὲ κἀκεραύνου ἐκκρούων ἅμα,
Μὴ ἐκλελοιπὼς κἂν κενὴν ἐπαρχίδα,
Ἀλλ' ἦγεν ἄχρις οὗ κατεφλέχθη τέλος.
Διϊστα δ' αὐτῶν, καὶ ἐφίστα κοινῶσιν,
Οἵ ἄνδρα ἡγήσαντο τῆς εὐτολμίης,
Πλήξαντα, ἐκκρούσαντα, καὶ σαωθέντα.
Ἀνεύθετος στόλος δὲ χωρεῖ ἐς Χῖον,
Ὅποι ἀνακρίναντες ἐξειργασθέντας,
Ἐπεῖδον ἐλλείποντας ἡμιμυρίους,
Νηῶν δὲ κοίλων ἑπτὰ ἐκκεκαυμένας,
Τριήρεάς τε ἡμιπλήκτους τὰς πλείω,
Καὶτοῦ μέμεινεν εἰς ἀνόρθωσιν δηρόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δελφὶν δ' ἄγων κοινῶνας ἔπλει ἐς Πάρον,
Δύω πασῶν μὲν ἐκλελοιπότων μόνων,
Κἀν ὑσμίνη δριμεῖα, κἀμύθητός τε.
Ἠχὼ δ' ἀνιαχεῖα ὡσὶ Φωσκόλου,
Ἔνυττε τόνδε εἰς ὑπαντὴν Δελφῖνος,
Καὶ εἰς Πάρον γίγνοντο αἱ περιφράσεις,
Δελφῖνι ἔργα Φωσκόλου αἰνουμένου,
Αὐτοῦ πάλιν δὲ τῷδε ἐγγυουμένου,
Ὡς τουτοὶ πρόασμα ἔργων μειζόνων,
Ἢν ἂν τυχὸν σύμπτωσις ἡμῖν εἴη που,
Νὴ Ζῆνα φροῦδον σφῶν ἰδοίατο στόλον,
Οἷόν τε μὴ πρόπαντα πρὸς δέκα πταίειν
Μόνας, τί δ' εἴπω εἰ πρὸς ἀθρόας τάσδε;
Αὐτός δ' ἐμειδίασε, πρὸς γένυν κύψας,
Τάχ' ἂν ἀπιστῶν οἷς πεπείραται πλεῖστα.
Τούθ' εἵνεκεν τάχιστα αἴρων τοὐντεῦθεν,
Πρόσφυξ δρομαῖος ἦκε τοὐμὸν πρὸς τέγος.
Οἷς δειματωθεὶς δειματῶσαι οὓς ἔδει.
« Κἀν οἶδε φυγγάνοντα ἔργ' ἀρκῖτων
» Ἆραι ποτοῦν ἔπαθλον οὐκ ἐνὸν νίκους. »
Ἀκμῇ θέρους δὲ Μωκενῖκος πεφθακὼς,
Εὔορμον ἐς Κίμωλον ἐγκατησχέθη,
Δυώδεκα ξὺν ναυσὶ πομπέων κοίλαις,
Καὶ Φωσκόλῳ ἤγγελτο μή τι δηθύνειν,
Τελεῖν πρὸς αὐτὸν, καὶ πρὸς οὔτ' ἄζαι στόλον.
Καὶ οὐρίου πνεύσαντος ἵκετ' αὐτίκα
Καὶ εὐθυμεῖτο Μωκενῖκος Φωσκόλου
Τῆς ἀπτέρου πειθοῦς τε καὶ ὑπουργίης.
Ἀλλ' ἐνθυμεῖτο μᾶλλον, ὡς ὁ ναυμάχης
Αὐτὸς πρὸ τῶνδε, οὐ δύσελπις ὢν αὖθις
Αὐτοῖς πελάσαι, οὓς ἔθιμος σκιδνᾶναι.
Ἐν ᾧ δ' ὃς ἠσχολεῖτο ῥυθμίσαι στόλον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντίκτυπος στόλος τε ἐκ Χίου ἄρας
Πλοῦν σφίσσι τερμάτιζον, εἰς λώβην Τήνου.
Ἦν δ' εἰσβολὴ νωθρή τε κἄμπλεως δέους,
Λώβη δὲ τ' ὠπήδευεν ἠκίστη μάλα.
Ἐγχώριοι γὰρ συστραφέντες εἰς πόλιν,
Ἀφῆσαν τὰς κώμας ἐκκενουμένας,
Αὐτοὶ δέ γε πρήσαντες ἀμφίπου πέντε,
Αὐτὴν πάλιν τράποντο εἰκαῖοι σκύλων.
Τάδ' εὖ τοπάζων Μωκενῖκος ἐγκαίρως
Τοῖς Τηνίοις φρόντιζεν, εἰ ἔνεστ' ἔδαρ.
Ἐξ δὲ τριήρεις ἀλφίτων πλήσας φόρτου,
Πεινητικοῖς προὔπεμπε, τὰς θοωτέρας.
Νοστησάσης δέ γ' ἔνθεν ἄκρον εἰς Ἄνδρου,
Ὑπαντιῶντες δυσμενεῖς παντὶ στόλῳ,
Ἂς οὐ δίωκον, ἀλλ' ἀφῆσαν περᾶν,
Ὑφώραον γὰρ τὰς μεθ' ἕξ καὶ λοιπάς τε
Ἕσπεσθαι, ὡς Κύδωνα σύντεινον σπουδῇ,
Κηλέσται οἷα Μωκενιΐου μήδους,
Ἀντὶ φρενοκλόπων δὲ ἐξηπατῶντο,
Καὶ ἀρκύους τίπανον ἐξηρτωμένοις.
Ἐν γὰρ Κιμώλῳ Μωκενῖκος προσμίμνων,
Ποῖ ἂν τράποιντο ἀκριβῶς καραδόκει·
Αὐτοί δέ γε σπέρχοντο τὴν αὐτὴν τρίβον,
Πρὸς Πουλύαιγον ἠδ' Ἐλευσῖν ταῖν νήσοιν.
Σκοπεῖτο Μωκενῖκος οὓς κεραδόκει·
Καὶ ἐκβὰς ἧ λοχῶντο, οἷά τις σκύλαξ
Ἐθὰς πρὸς ἄγραν, αὖτ' ἀρήϊα βρέμε.
Δελφῖνα δ' ἐξέπεμπεν ἐς Πόντου μοίραν,
Ἐρητύσοντα ἐμβολὴν νηῶν κοίλων,
Τριῶν μὲν οὐσῶν, ἠδὲ τετράκις δέκα.
Αὐτὸς δ' ἐς ἡμίκυκλον ἦν ταχθεὶς σχῆμα,
Καὶ ἐς μέσον μίμναζε συμπίπτειν στόλον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τριήρεων συστάντα ἐκ δέχ' ἑξάκις,
Ὀκτώ τε πρὸς ταύταισι κλητῶν μαώνων·
Καὶ δὴ φθάσαντα ἐς βολὴν πυρεκβόλου
Δεινῶς κεραύνου, παῖέ τ' ἐντόνως μάλα.
Ἧμος δ' ἔμελλεν ἡ πάλαι ἀριστεύσαι,
Τῆμός τ' ἀήτης λῆγε δυσμενῶν ὕπερ.
Πρυμνησίων γὰρ ἐκ νεῶν χαλασθέντων,
Τριήρεας δέχοντο, εἶλκον δ' ἄψ τάχδε.
Καὶ Μωκενῖκος ἦν διώκων συντόνως
Νυχθημέροισι τρισσί, κωλύσας πλείστας·
Περιῤῥανείσας δ' ἔνθεν ἠδ' ἔνθεν νήσων,
Ἀφεκτέας κέκρικεν ὡς ἡμιπλήκτους,
Καὶ οἷα δεινὸν εἰς ἑκάστην ὁ πρόπας.
Ὑποστρέφει δὲ ἠρεμήσων εἰς Ἄνδρον,
Οὗ ὠπίπευε ποῖ ποτ' ἂν συναχθῶσιν·
Οὓς δ' ὅρμος ἠγέλαζεν εὐρὺς Φωκαίας,
Ἐνταυθὶ συμφρασθέντας ἐλλείπειν σκάφη,
Ἦν Μωκενῖκος ἢ ἐλαύνων τοῦδ' ἄχρι,
Καὶ Ἀσίην δέξασθαι, ἀλύζοντές που.
Ἐπεὶ δὲ νοῦσοι ἐσθ' ὅτ' οὖν ἀλλοιοῦσαι
Σκέψεις ἀρίστοις κἀνακόπτουσαι ἔργων,
Τοιόνδε νῦν ξύμβαινε τοῖςδ' ἐνεστόσιν.
Ἦν καιρὸς εἴπερ Μωκενῖκος ὢν ἥτει,
Αὐτῶν προμηθεὺς ὠσμὸν εἰς ἀναρσίων.
Καὶ συνδίαζε μὶν φράδμων πολιτείη
Ῥέκτῃ στρατάρχῳ, ἀντ' ἀγαυοῦ Γιλδάσου·
Οὐ γὰρ προσῆκον τῷ δέ γε σκέπτεσθαί πως,
Μόθοιο ἔργα οὐ κατέγνω γλωσσῶδες.
Ἦν δ' οὗτος Ἀλέξανδρος οἰκίας Βώρων,
Ὃν καὶ ἀρῄϊόν τε ἡ ἐνεγκοῦσα
Ἔσχεν εὐδοκιμήσαντα, ἄστεων ἄλλων.
Ἧς εὖχος ἠκρίβωσεν, οἷ' εὐπατρίδης·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ παιδὸς εἴπερ οἱ μέμηλε τῶν δήρης,
Καὶ πὰρ μέδουσιν ἐγκονεῖ σπουδῇ πάσῃ,
Αὐτοκράτορσι μᾶλλον ἐκ Γερμανίης,
Οἷς ἠξιοῦτο προκρίτων τιμῶν βάδην,
Καὶ ὀψὲ ἀξίης τε τῆς μαρκιώνων.
Μέγας δ' ἀγήτωρ, καὶ νομάρχης Τυρρήνων
Μεταστάλεις ἐνθένδεν εἰς στραταρχίην,
Σέβιζεν ἄνδρα, καὶ πάρεδρον ἠξίου·
Περαινοθείσης δ' ἔνθα ἐκδίκου μάχης,
Ἀμφ' ὀρχάμου Πάρμης τε ἄντα Ῥωμαίων,
Ὃ τ' ἀμφίβαινε συμμαχὶς πολιτείη,
Ἦν πουλύφημος ἐξ ἀριστουργημάτων,
Ὡς καὶ ἄνακτα παγκρατῆ Ἰβηρίης
Νεῦσαι πρὸς ἄνδρα καὶ ἀρέσθαι ἀλητῆρα·
Τῶν Ταῤῥακῶνος εἴπερ ὅπλ' ἀντερόντων,
Γάλλοι παρεισήχθησαν ἐς σφῶν ἀμύνην,
Καὶ δὴ κατίσχον πλεῖστον ἐξ ἐπαρχίης·
Μογεῖ δ' ἄναξ κράτιστα ἔς τ' ὦσιν Γάλλων,
Ἐς τίσιν τραχεῖαν ἀνταρτῶν ἄλλων·
Ἀνέτρεπον οὗτοί γε πεῖραν ὁποίαν,
Ἀεὶ δέ τε προὔκοπτον ἐς κτήσεις χώρων,
Ἐπὰν δὲ ἠσθάνοντο ἔργ' ἀηθέα,
Τῆς δρημοσύνης Βώρου αὐτῇ ἐν μάχῃ,
Ἀπημβλύνοντο, ὤλεκόν τ' ἐπικτήσεις.
Ἄναξ δ' ἀγαθὸς κἀπιήρανος δόξων,
Ἐς Μάνδριδόν δε, ἑστίαν ἀνακτόρων,
Ἀνακαλεῖ τὸν ἄνδρα, ὃν τίσας μάλα
Ἐν τριστάτοισι τοῖς παρ' αὐτὸν ἠρίθμει.
Γαλλατίης δέ, τῆς πάλαι Λουκινσίων,
Στράταρχον ἐγκαθίστα δαψιλῷ τέλει·
Αὐτὸς δ' ἀεργὴς μὴ θέλων διατρίβειν
Καὶ ἀσπίδι ὀρφνῷ φεψάλῳ προσαρτῆσαι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀμείβεται ἄνακτα μειλίχοις λόγοις,
Ἀρχῷ δ' ἑῷ φάτιζε τὰς ὑποσχέσεις.
Πρεσβεὺς δ' ὁ πὰρ μέδοντι ἐκ πολιτείης,
Ὧν Ἰάκωβος Κουϊρίνων οἰκίας,
Ξυμφράζεται τῷδ' αὐτῷ ἦν θυμηρόν τε
Ἀγωνίσασθαι ἧς ὕπερ τελεῖ πρέσβυς,
Ξυνοῦ κατ' ἐχθροῦ, καὶ μεγασθενοῦς ἄλλων,
Καθ' οὗ τρόπαιον αὐτὸς ἦν ποτοῦν ἄρῃ,
Τῶν ποτνίων ἐσσεῖται ἐκ μάχης γέρας.
Προεκθέσει δ' ὃς εὐθετηθεὶς τοιᾷδε,
Προὔτειν' ἑαυτὸν τοῖσί πως ἐσκεμμένον,
Εἰ τοῦδε ἀρχὸς μὴ ἀναίνηται τάδε.
Ἀλλ' ἅμα ἔνστασίς τις ἐκ Γερουσίης,
Δι' Ἀμβρόσου πρεσβῆος ἐκ Σαρατίων,
Ἀγήτορ' ἐς μέγιστον ἐν Φλωρεντίῃ,
Ἀπαλλαγῆς τοῦ ἀνδρὸς ἐξ Ἰβηρίης,
Καὐτοῦ ὑπόστροφός τε οἴκαδε τρίβος·
Μέγας δ' ἀγήτωρ σεμνυθεὶς Φλωρεντίῃ,
Ἱμερτὸν ἐξέπεμπεν ἐς πολιτείην,
Ὅποι δέδεκτο δαψιλῶς τιμῇ πάσῃ,
Καὶ Μωκενῖκος συνδίαιτον ἐγγύα.
Συμφράζεται δ' ᾧ τῶν ἐνεστότων ὕπερ,
Καὶ δὴ σκόπευον δυσμενεῖς ἀνατρέψαι,
Σκοπὸς δὲ ἦν ἀμφοῖν τε ἐλπωρῆς γέμων·
Ταιναρίου γὰρ προσφάτως ἐκ Μαΐνης,
Τρίηρον ἐξώρμητο ἐς στόλον τεῖνον,
Καὶ Μωκενῖκος δέκτο ἀσμένως πρόφρων·
Ἐν τῷδ' ἐνισπάζοντο ἐκ Βυζαντίδος
Διττοὶ φέροντες κρυπτὰ ἄττ' ἀγγελμάτων,
Αὐτὸς δ' ἀναγνοὺς γραμμάτων περιστάσεις,
Τὼ ἄνδρε ἀντελάμβαν' εὐνόῳ νεύσει,
Παλινδρόμους μεθῆκεν ἐς Ταιναρίους·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς ἂν δοκῇ δὴ χαριτοῦσθαι εὐνοίῃ;
Διττούς τε χ' οὗτος ἀνταπέσταλκε γνωστῶν
Οἷς συστάτει τε γραμμάτων ἀντικρίσεις,
Ὧν εἷς ἀρητὴρ Μάρκος ἐκ Γαλανῶν μοι,
Καὶ Πέτρος ἄλλος Κορκυρεὺς Μαγναμίνων,
Ὧν γραμματεὺς προστάτου οὐκ οἶδ' ὅτου.
Ἐς τουτὶ τέρμα τἀμὰ ἐν θυμηδίῃ,
Οἷόν τ' ἐπιῤῥέποντα βελτέρῳ τύχῃ.
Ἐπεὶ δὲ Μωκενῖκος ἠσθένει νόσον,
Ἣ δὴ ἐπεκτείνετ' ἐργώδης μάλα,
Σκέψεις ἀνετρέποντο ἠλλοιωμέναι·
Ἄκος γὰρ οὐχ εὕρηται ἐς λύσιν νόσου,
Μᾶλλον φύσις δ' εἴκαθε τῇδ' οἰστρουμένῃ.
Ψυχὴ δ' ἄτιζε πληκτότυπον μανίην,
Κἀνίπταται Ὄλυμπον ἀστερωθεῖσα·
Ἔρις δ' ἔφυ μεταξὺ Φοίβου Ζηνός τε,
Ὁμόῤῥοθοι κἂν ἄμφω, οὐκ ἐᾷν πρόσω,
Ὥς τ' ἐς μέγαν Ὄλυμπον ἱδρύσθαι ἄλλοις·
Φαῖβος γὰρ ἀντέριζεν ὡς αὐτῷ ἧκον
Ἥρω' ἀρέσθαι κἀμφικυκλεῖσθαι ἅμα,
Φαύσει δικασπόλοισι εὐσθενεστέρᾳ
Τόδ' εἴγε στράτευμα Κρητῶν ὠδαῖσιν,
Αἵ γ' ἐν νεῷ ᾄδοντο Μωκενίκῳ.
Ζεὺς αὖτε ἠντίαζεν, ὡς τὸ νῦν ἔχον,
Οὐ φαύσεως χρειώ τις εὐσθενεστέρας
Δικασπόλοισιν, ἀλλ' ἀρηΐων ἔργων.
« Κρήτη ἔμοι γε πάτρη, ἣν περ οὐ φέρω
» Δέρκειν ὑπ' Ὀτμάνοισι δουλαγωγεῖσθαι·
» Ἥρως δ' ὃς ἦν φράδμων μὲν εὐμαθὴς δή μοι,
» Καὶ ἦμην ἐντόνως τε ὡς ἐέλδωρ μοι.
» Ἐπὰν δ' ἔμελλεν ἐκβαλεῖν λωβητῆρας,
» Ἀκηράτους πέπρωται ἑλκύσαι ἥρω.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Σὺ δ' οὖν, Ἄπολλον Φοῖβε, ἴσχου σοῦ μήδους,
» Φορᾷ τεῇ δὲ πρόσχες αὐγάζων κόσμον.
» Ἔγωγε δ' ἅζω, κἀπὶ δίφρον μοι τόνδε
» Ἵζω, ἵν' ἂν συνών μοι εἴη συμφράδμων,
» Οἷς δεινάσας κυροῦμαι εἵνεκεν πάτρης. »
Ζεὺς ὠδὶ νῦν ἔριζε καὶ σαφεῖ γνώμην,
Πρὸ τῶν δ' ἀτὰρ τέκταινε πανολεθρίην.
Ὅθεν δ' ὑπῆρξε καὶ καταντᾷ πως τάδε,
Παλαιφάτων μὲν μνήσομαί τινων ἔργων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ ΙΕ'.

Τὴν Σαρμάτων τολμηρὰν ὁρμὴν ἐν μάχαις
Εὖ οἶδε πᾶς τις, ὧν δαήμων ἀρχαίων·
Μεμνημόνευται γάρ κεν αἰὲν ἀρχῆθεν
Τὸ δυσδάμαστον καὶ ἀνένδοτον φύτλης.
Ὡς Λυσίμαχον ἐκστρατεύσαντ' ἐς τούσδε,
Λωβῆσαι οὐδὲν καὶ ἁλῶναι ζωγρίᾳ,
Οἴκτοιο κἀν τέτυχεν ἀφεθεὶς ἔνθεν.
Τί χρὴ δὲ ἀμφὶ τόνδε τείνεσθαι λόγον;
Ὅπου Ἀλέξανδρός τε, τοῖσδ' ἀλισταίνων
Κράτιστ' ἐπερρήγνυτο, ὡς ἀϊστάσων·
Καὶ πειραθέντα νῆσον Ἴστρου ἐμβῆναι,
Οἵγ' ἐντόνως ἀπεῖργον, ἀντέφραττόν τε,
Ὡς θαυμάσαι τὸν ἄνδρα τὸ στερρὸν γένους
Φαύλισμά τ' εἰς ἄνακτα, ᾧ τὸ πᾶν ἥκει.
Λυσίμαχος γοῦν ταῦτα νῷ ἀμπεμπάζων,
Σκεφθεὶς θ' ἑαυτὸν, ᾧθ' ὑπέστη κινδύνῳ,
Λυθεὶς ἀφίστα καὶ μάχεσθαι τοιοῖσδε
Κέλευε μηκέτ', ἀλλὰ φίλοισι χρῆσθαι.
Γένος δὲ αὐτάρκειαν ἦν ἠσκημένον,
Καὶ εὐνομοῦντο ἄβιοι δίκαιοί τε·
Ἔπειτα δ' αὐξηθέντες ἐς μέγα σθένους,
Ἐς λῃστρικόν τε ἧμεισον βίον·
Ἀκατίοις γὰρ γειτνιῶντας ἠνώχλουν,
Βιθυνίας τε ἐμβατεύοντες μέχρι,
Οὗτοι δὲ οἱ πρὸς Πόντον οἰκοῦντες Γέται,
Οὓς Κοζάκους νῦν ἅδε κικλήσκειν νέοις,
Ὡς Μιθριδάτην ἐκστρατεῦσαι πρὸς τούσδε,
Γετῶν ἀμαλδύσοντα ὕβρεις ἀτλήτους,
Ἀμφίῤῥοπος δ' ἔγεντο ἀλλήλοις μάχη,
Χ' ὅπερ Γέται μέμειναν ἤθεσ' οἰκείοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μόνῃ δ' ὑπεῖκον ἀρετῇ τῇ Ῥωμαίων,
Οἷς καὶ κακουργήθησαν αὐθαδισθέντες·
Ἐπὰν γὰρ οἷδ' ἔρειπον ἀρχὰς δασθείσας
Τὰς ἐκ τοσῆσδε ὕστερον Μακεδόνος,
Οἷς Σαρμάτας ἔοικε χειροῦσθαι τέως,
Κἀποικίην καθίστων ἐκ σφῶν εἰς Δάκους.
Ἐμφυλίου δ' ἔριδος αὐτοῖς συστάσης,
Ἀνθαρσύνοντο δὴ τότ' αὖθις Σαρμάται,
Ἐνθένδε τὰ Θρακῶα δῃοῦντες μάλα,
Ἰλλυρίην θαμά τε μέχρι τ' Ἠπείρου,
Ὡς καὶ ἄποικον σφίσιν ἔχειν Μυσίαν,
Καὐτοκράτορσι τοιάδ' ἐν σκέψει θέσθαι,
Μὴ σφίσι πως ἴδοιεν ἀρχὴν μειοῦσθαι,
Οἱ πρόσθεν ἦν ἄεξαν εὖρος ἐς τόσον,
Ὡς συγκρίνεσθαι μήποθ' αἷς ὅσας ἴσμεν.
Ἕκατι τῶνδε χριστολάτραις πρωτεύσας,
Ἐπὰν κατ' αὐτῶν ἐθριάμβευσ' εὐτυχῶς,
Ἢ πώποτε Θρακῶα λῃσαμένων,
Βύζαντος οὗδας ἦξεν ἀμφὶ τῆλέ τε
Πόλιν καθιστῶν αὐτοείκελον Ῥώμης,
Λόφους καθ' ἑπτὰ καὶ καθ' ὥραν κτισμάτων,
Ἀνάκτορον δ' ἔωργε τηλίκου κράτους,
Κἀντωνόμαζεν ἑστίαν Κωνσταντίνου·
Σπουδὴ δὲ ἦν ἄνακτι συντελεῖν πόλιν,
Ὡς ἦ τ' ἔπαλξις ἦ κράτος μὲν ἠσθένει
Χ' ὡς ἀπτέρως τε ἀντιφράττῃ Σαρμάτας.
Διήρκεσαν δ' οὗτοί γε δηρὸν ἀτρέμα
Καὶ εὐλαβοῦντο ὑψίκομπα Θρακώων.
Ἐπεὶ δ' Ὀλύμπου νέρθεν ἀστατεῖ πάντα
Καὶ οὐ διαρκεῖ δή τι, εἰργμένῃ τύχῃ,
Τοῖον πέπονθεν οἶκος ὅδε ἀνάκτων,
Οὐ γάρ κεν αὐτὴ πᾶσιν ἀρετὴ πρώτου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Συγχεῖτο μέντοι πάντα ἐκ δυσβουλίης·
Οἱ μὲν γὰρ ἐξικνοῦντο ἐς μοναρχίην,
Οἱ δ' ἐς μῖσος πρόσκρουον ἀλλοδοξίῃ,
Δόλους δέ γ' ἐξύφαινον ἀλλεπαλλήλοις,
Φόνοι τ' ἐτεκταίνοντο τῶν ἀπαισίων,
Ὡς ἂν λαβὴν δίδοιεν ἔθνες' οἰθνείοις
Ἐν εὐερτέροις τε ἐκτὸς ἀρχὴν ποιμαίνειν.
Τούτους δὲ πράττειν ἔνδον αὐτῶν καὶ χείρω.
Εὖ οἶδατ' ἐκ τοιῶνδε ὅσσα συμβάντα,
Καὶ ὡς διῃρέθη τε ἄνδιχα κράτος,
Ἀρχὴν κατ' αὐτὴν καὶ κατ' αὐτὴν θρησκείην·
Τὸ μὲν κατ' αὐτῶν ἀρχιθύτῃ τῷ Ῥώμης,
Νεωτεριστὰῖς συμμένοντι τοῦδ' ἄχρι,
Τὸ δ' αὖ ἑωΐοισιν οὔσ' ἀνενδότοις
Στερρόῖς τε οἷς ἔδοξε κοινῇ καὶ ἄπαξ·
Ξύμβαιν' ἀτὰρ τάδ' οἷον ἀντίφθογγ' ἄττα,
Οἷς ἠσχολοῦντο, ἐξίσου τε Σαρμάταις.
Διῃρέθησαν γάρ κεν ἄνδιχ' αὐτοί τε
Δύο ἐς ἀρχὰς καρτερὰς καὶ εὐρείας·
Λάχος γὰρ ἦν πρώτοισι Λιτουανίη,
Βορυσθένοιο ἐντὸς, ἄχρ' Οὐενδίκου
Κόλπου πρὸς ἄρκτον, ὅσα συμπίπτει μέρη.
Οὗτοι δέ γ' ἰάζυγες οἱ μετανάσται,
Οὓς νῦν Πολώνους οἶδεν ἡ κοινῶν δόξα,
Καὶ ἐγκαθίστων σφίσιν ἀρχεῖον πόλιν,
Τὸ Καρρόδουνον, νῦν δέ γε Κρακωβίην·
Τοῖς θἀτέραις δὲ ἦν Ποδωλίη, γείτων
Λιτουανίης ἐκ νοτίου δὴ μέρους,
Γετῶν τε μοῖρα μέχρις Εὐξείνου πόντου,
Ἐκτὸς Βορυσθένους τε μέχρι Σαρμάτου
Πόντου τελοῦντος ἀρκτιωτέρᾳ μοίρᾳ.
Τετραμμένοις δ' αὖ πρὸς νότου πλευρὰν πάλιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τανάϊδος ῥοῦ τέρμα, ἥτε Μαιῶτις,
Καὶ ἐκτέταντο Ῥωξολανοῖσι Σκύθαις,
Οἰκοῦσι πλευρὰν Κασπίης πρὸς ἀρκτώαν·
Πόλις Βορυσθενὶς δὲ ἦν σφῶν ἀρχεῖον,
Κίωβον ἄλλως σφῶν θρόῳ κεκλημένη.
Ἐκ τῶνδε πᾶσ' ὄχλησις ἀέναός τε
Αὐτοκράτορσι, λῃΐη τε Θρᾳκώων,
Ἀνθ' ὧν ἐπεσκέπτοντο τούσδ' ἔλξασθαί πως
Χριστώνυμόν δε καὶ ἐς ἔνθεον σέβας.
Τετραμμένοις γὰρ τυχὸν ἥπιον βίον
Οἷς ῥᾴδιον σπένδεσθαι ἠδ' εἰρηνεύειν.
Ὃ κᾀξέβη κατ' αἶσαν, ὡς σκοποῦ ἴσχον·
Οὐλαδίμηρος γάρ τις ὢν σφῶν προστάτης,
Ἐπὰν γ' ἐρυγμοὺς ἐξενήνεγκε πλείστους,
Ἐπεῖδεν ἐσδέξασθαι ἱρὸν λουτῆρα,
Πρῶτον διδαχθεὶς λῃπτὰ ὅσ' ἀπορῥήτων,
Πεισθεὶς τέκμαρσιν ἐκ λιτῶν ἀγνοῦ θύτου.
Ἤγνιστο γοῦν κἦρ, Βασίλειός τ' ἐκλήθη,
Τὸ δ' αὐτὸ οὔνομ' ἀμφέρων ᾧ σπονδάς τε,
Πρὸς οὗ τε γνωτὴν κλειτὸν ἠσπάσθη κῆδος.
Τοιοῖσδε ἐνδείγμασιν οἱ Γερμανίης
Πειρῶντο ταὐτὰ Καρῥαδούνου προστάταις,
Οἵ, ὡς ὀπηδοὶ ἀρχιθύτου Ῥωμαίων,
Δόγμασιν ἐς σφῶν ἀντεσήνεγκαν σέβας.
Καθηγεμὼν μέγας τε Οὐλαδίσλαος,
Ἁγνίζεται πρώτιστα ἱρῷ νιπτῆρι,
Ἐξ ἧς ὑπόσπονδοί τε Λιτουανίης.
Τουντεῦθεν ἔθνος ὧδέ πως διεφώνει,
Εἰς δυσμὰς ὧν μὲν νοῦν ἐπιτρεψαμένων,
Ἧν δ' αὖ ἑωΐοισι θεσμοῖς εἰκόντων·
Ἔνθεν μάχαι τίκτοντο ἀλλεπαλλήλοις
Θεσμοῦ ἔκατ' ὀρθοῦ τε καὐσεβεστέρου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἱ Καρροδούνου γάρ κεν ἐξοιστρούμενοι,
Συνημένοι δ' ὁμοῦ τε Λιτουανίοις,
Κακῶς ἐποίουν τοὺς Κιωβίτας μάλα,
Ὡς καὶ Ποδωλίην τε ὁρᾶν ὑπὸ σφίσι,
Γέτας τε αὐτοὺς, καὶ τέως Κίωβόν τε.
Αὐτοὶ δὲ συσταλέντες ἐκ Βορυσθένους,
Πόλιν κατῴκουν, βαιὰν οὖσαν τὰ πρῶτα,
Ἀτὰρ μεγίστην, ὧν ἂν ἴσμεν τευχθεῖσαν,
Εὐρυάγειαν, καλλιτείχιον πασῶν,
Ὡς ἐνδεεστέραν τε μὴ εἶναι Ῥώμης
Μήκει, πλάτει τε, καλλονῇ τε κτισμάτων·
Ἦ γ' ἐγκαθίστων σφῶν ἀνάκτορον δόμον,
Καὶ οὐνομάζειν ἅδε οἷς Μοσκωβίην
Αὐτὴν πόλιν τε, ἠδ' ἐπαρχίην πᾶσαν.
Γέται δὲ κἂν πρόσκτημα Καρροδουνίων,
Μέντοι σέβας ῥύοντο, μὴ προεκβάντες
Ὧν ἀντελαμβάνοντο θεσμῶν ἀρχαίων.
Ἔνθεν διαρκεῖς ἀποχαί τε σπονδαί τε
Αὐτοκράτορσιν, οὖσ' ὁμόφροσ' ἐς σέβας.
Ἐπεὶ δὲ ἀπορρήτῳσι βουλαῖς παντόπτου,
Ἀνάκτορον δὴ συγκατέσκαπται ἄρδην,
Κότμανίδαι κατίσχον ἡλίκου δόμου,
Γέται τότ' οὖν πρὸς τούσδε ἄσπονδοι πάλιν,
Τετραμμένοι μὲν εἰς ὅπερ πρὸ τοῦ σέβας,
Τότ' εἴπερ ἠρίζοντο πρὸς χριστωνύμους,
Χριστώνυμοι δὲ ἄρτι πρὸς χριστεμπαίκτας.
Ἵντεινε δ' ἀπέχθειαν οἷς ὁσημέραι
Ὀτμανίδων λυχνεία ἐς κράτους αὔξιν·
Οὐ γὰρ κόρος τοῖσδ' ἡλίκου δόμου κτῆσις,
Ἀλλ' ἐς βόρεια, καὶ πέραν ῥόων Ἴστρου
Ἵκειν γλίχοντο ἢ Ἀλέξανδρος πάλαι.
Δάκοι δ' ὑπεῖκον καὶ τελεσφόρουν εὖνοι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γέται δ' ἀπηρέσκοντο ἀντιταχθέντες.
Κἀκ Καρράδούνου βασιλεὺς Πολωνίας,
Πόλιν Καμυενίξαν ἐν Ποδωλίῃ
Στερρὰν ἔπαλξιν εἰς ἄπωσιν ὠχύρου,
Ἐν ᾗ τε πλεῖστοι προσκεκρουκότες πίπτον.
Ἐπεὶ δὲ δυσχέρεια ἔνθεν ὥΐσθη,
Πρὸς Σκύθας ἐπρέσβευαν ὡς ὑποσπόνδους,
Ὁμόφρονάς τέ Μεχμετικῆς θρησκείας,
Οὓς Ταρτάρους τε ἡ συνήθεια κλύει.
Αὐτοὶ δὲ οὗτοι Ῥωξολανοὶ οἱ πάλαι,
Παρ' ὧν ἐγῶμαι, οὔνομ' εἰλῆφθαι Γέτας,
Ῥώσσους δὲ νῦν κεκλῆσθαι ὥς παροίμους τε,
Δῆνος τόδ' οὖν λαβόντες ἐξ Ὀτμανίδων,
Λόχους κατ' αὐτῶν μηχανῶντ' ἐτησίως,
Ἑκάστοτ' ἤγρευόν τε ὡσεὶ χιλίους,
Ναύροισιν ὡς πλειῶσι δέρκεσθαι πλήρεις
Τριήρεις, σμικρόν τι τῶν Γετῶν δέον.
Τούθ' εἵνεκ' ἔννοιά τις αὐτοὺς ἱκάνει,
Πῶς ἂν Σκυθῶν στέλλοιεν αὐθάδη τῦφον,
Καὶ σφᾶς ἀπαλλάξοιεν ὕβρεως τόσης.
Βολῆς δὲ πυρὸς χρῆσιν ἐξηκριβωμένοι,
Λόχους καὶ αὐτοὶ ἀντιτέκταινον τοῖσδε,
Καὶ χώραν εἰσβάλλοντες, ὡς ἔθος τ' ἴσχον
Ἱππῆας ἐν δόρασι καὶ βέλλεσί τε·
Οὗτοι κατατρέχοντες, εἰ καὶ πρυλέες,
Πυρεβολίσκοις μέντοι ἔκτανον πλείους,
Ὥστε Σκύθας σκέψασθαι αὐτοῖς μηκέτι
Χρῆσθαι ἐνέδραις, ἀλλ' ἀμοιβαίοις φίλοις.
Συγχεῖν τάδε ξύμβαινε νοῦν Ὀτμανίδων,
Ἀλκὴν ἔφαλον εἰδότων μειουμένην.
Γετῶν δὲ θυμὸς ἔκδικος παρωξύνθη,
Ἐς ὕβρεως ἄμυναν, ὡς ἐπικλόπου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κἀκατίοις λήΐζον Εὔξεινον πόντον,
Ὡς ἔνθεν ἐξαλεῖφθαι ἔργον νηίης.
Ἤπού γε θαμὰ σύλεον Βύζης ἔδος,
Κἀκεῖθεν οὐ μὴ ῥᾷον αὐτοὺς ἐγκόπτειν.
Ὡς πᾶσί που ἄδεσθαι ἔνθεν ὀργῶσαν
Ἀνάῤῥωσιν κραιπνήν τε παισὶν Ἑλλήνων
Τῆς Ὀτρανίδων δηξιθύμου δουλίης.
Οἷς ἦν κυκεῖα ἡ Γετῶν εὐτολμίη,
Πρὸς σφῶν ἄνακτα ζηλοτυπίη πέλεν,
Οἷόν τιν' ἀρχὴν ἐγκαθιστώντων σφίσιν,
Εὐωριαζόντων τε τὰ Κρακοβίης·
Ἐνθένδεν ἐντρέχεια ἐς τῶνδε δμῆσιν,
Πάθος τε εἰς σφῶν συγκατάξαι εὐνόους.
Ἀτὰρ κενὴ καθίστα πεῖρα πᾶσά τις,
Ὅποι Γέται προὔκοπτον ἐς μέγα σθένους.
Τάξις τις ἔμπης πανσθενὴς Ναζηραίων,
Οὓς ἴδμεν ἐς ἀρχεῖα ἐγχρίνειν χεῖρας,
Αὐτούς τε ἀρχοὺς ἠδ' ὑπηκόων πλήθη,
Σκοποῦντο ἀρχιθύτῃ ἐκτρόπους ἄγειν.
Μὴ δεκτρίους τούτους δὲ ἀγρευτῶν λόγων,
Ἐγνωκότες μὲν ἠέτ' ἐνθυμημάτων,
Δὴ πρὸς βίαν τρέποντο ἐκ τυραννίδος,
Καὶ τοιάδ' ᾠήθησαν εἰς σκευωρίην.
Τοῖς ἐν τέλει πάρφασαν, ὅσα ἐγκτήτων
Πολωνίηθεν ἐς Γετῶν κτῶνται μοῖραν
Μισθοῦν Ἑβραίοις, οὕσ' ἐναντίοις φύσει
Χριστωνύμοισιν, ἔθνος εἴπερ τι ἄλλο·
Τοιῷδε οἰδαίνοντες Ἑβραῖοι τύφῳ,
Οὐκ ἦν ἐπηρεασμὸς ἢ κάκωσίς τις,
Ἦν μὴ ἐς ἐξώλειαν ᾐχμαζον Γέταις.
Καὶ ἦν ἀνεκτὰ ὅσα ἐς κακουχίην,
Τὰ ἐς σέβας δὲ κέκριται τῶν ἀτλήτων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤνωγον εἴπερ μὴ καθαγνίζειν τέκη,
Πρὶν ἢ διακρίνοιεν αὐτοὶ πρακτέων,
Ὡς πλεῖστα δ' ἐφθείροντο θειασμῶν ἄτερ,
Ὡς τοῦ γενέσθαι ὕστερον παρειμένου.
Πρὸς τοῖσδε ἀνθήπτοντο ἐντελεστέρων,
Καζωπυρεῖτο ἔχθος ἐς πυρσὸν μέγαν·
Νεὼ γὰρ ὡς μεγίστω ἐν Λεοπτόλει
Αὐτοὶ καθίστων ἑβραϊσμοῦ εἰς χρῆσιν,
Αὐτοὶ θυηπόλοι τε ἐκ Πολωνίης
Τούτους βίαζον σφῶν νεοχμώσεις σέβειν,
Καὶ εὖτ' ἂν ἠνήναντο ἤκιζον φαύλως.
Τοίως γὰρ ὠήθησαν αὔξειν σφῶν σέβας,
Γέτας εἰ ἐκσπάσοιεν ἠθῶν οἰκείων.
Λέληθον ἔμπης, σφίσι ῥᾳδιουργοῦντες·
Δύω δέ γ' ἐπρήθοντο δαπέδῳ πόντου,
Καί τινας ἐαλώκεσαν ἀμίλλης ἄνευ·
Τῶν δ' αὖ μαώνων εἰσπεπεκυῖαι δύω
Κατερράγησαν κυματωγαῖς Ἀσίης·
Λοιπῶν δέ γ' εἰς Λεύκοφρυν ἦν πλοῦς φυγάδων,
Οὐσῶν ἁπλώτων ἐκ βολῶν πυρεκβόλων,
Τριήρεις δὲ ἐσκεδάννυντο πλάνοι,
Ὡς ἐκ διωκτῶν αἶγες ἀγρίων λύκων·
Πλεῖσται γὰρ εἰσώρωρον αὐταῖς ἀκταῖσιν,
Ὅποι πέφευγον τὰ στίφη νεηλύδων,
Λοιπαὶ δὲ εἰσπέπλευκαν εὔορμον Λέσβον.
Καὶ Μωκενῖκος Λάζαρος νῦν ναυάρχης
Δελφῖνι ὢν ἄντανδρος ἠρετημένος,
Ἀολέσας ἄγημα τῷδ' ἐπιτραπὲν,
Ἀσινὲς ἠδ' ἄτρωτον οἰασοῦν λώβης,
Γανυρὸς ὡς ἐρύσας ἐκ βρεμησάντων
Καὶ ὡς ἐπικρατήσας οὐλοοφρόνων,
Πρὸς Κυκλάδας κατῆρεν, ἰχνεύων στόλον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοιῷδε Μαυροκῆνος ἡσθεὶς ἀγγέλῳ,
Ὡρήθη ἁρμόττοντα καιρὸν εἰλῆφθαι
Γενναίαν εἰς ἔνδειξιν ἔργω μειζόνων,
Βουλὴν δ' ἀγείρει καὶ προσίσχε τῇ Βώρου·
Σκέψις γὰρ ἀμφοῖν αἵρετις Ἐπιδαύρου,
Ὡσεὶ ἐχυροῦ ἄστεων δυσπορθήτου,
Ἀεικὲς ὠηθέντες ἐνδεεστέρων
Ἅψεσθαι ἔργων μετρίων κρατήσαντας.
Αἰψηρὰ δ' ἱκάνουσι κἀξέφνης μάλα,
Καὶ συγχέουσι προστάτας ἀπροσκέπτους
Πάσης ἀρωγῆς, ὧν τ' ἐχρῆν ἀναγκαίων·
Θέρους γὰρ ἀκμὴ καὶ πρὸ ὥρας εἰσόδων
Καὶ μαρκίων ἐπείπερ εἴργειν προὐθύμει,
Μὴ ἐκ προσόντων ἐκτιθεύειν ἠπείρου,
Γεφύρας ἦδ' ἔκερσε τέρμα προσψαῦον,
Καὶ συγκατασκεύαζε τῇδ' ἔρυμά τι,
Βρίθον τὰ πυρὰ κἀγλαὸν πυρεκβόλοις,
Ὡς τῆλε ἴσχειν ἀντιπράττοντας ἔνθεν.
Στόλος δέ γ' ἐστροφᾶτο ἄστεος πέριξ,
Ὡς ὄρνιν ἔθα δυσχερὲς καταπτᾶναι.
Αἴθρη γὰρ ἡμαυροῦτο ἐκ πυρῶν κνίσσης,
Καὶ οὔατ' ἐμφράττοντο βομβῶν ὀττόβου.
Δοκεῖ δὲ Βώρῳ πρῶτον αἵρεσθαι πόλιν,
Ἔπειτα δὲ ἄκρον ἀσφαλῶς ἐνεδρεύειν.
Ζητεῖ δὲ Μαυροκῆνος εἰ φθορὰ πλείστη
Τοῖς ἐγκατασκήψουσιν αἱρέσει τῇδε,
Ξυνέντι δ' ὡς ἑκατὸν ἀμφὶ πεντάκις,
Μῆδος τόδ' οὐκ ἄδηκε, καὶ προαιρεῖται
Μᾶλλον κακουχεῖν τῇδ' ἐνεδρεύων,
Ἢ ὡς τόσους ὠλέσθαι οἰκτρῶς κώμῃ τε,
Δοκῶν ἑλεῖν ῥᾴστα ἐξ ἀναιμάκτου.
Ἐπὰν λιμῷ τακέντες ἐνδιδοίησαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πόλιν τ' ἐχυρὰν, αὐτό τ' ἄκρον συμβάσει.
Οἷς μαρκίων ἤσχαλλεν εἴγε τὰ πρῶτα,
Βουλὴ τὸ πᾶν συνίστα τῇ κείνου φράδῃ,
Ἔπειτα ἠλλοιοῦτο εὐλαβηθεῖσα
Λώβην κατασκήψουσι, καὶ ὀπτεύεται
Τελεῖν μάταια, κἂν μογήσωσι πλεῖστα.
Τῇ γὰρ διμήνῳ κἀπιλοίπῳ τῇδ' ὥρῃ,
Οὐκ ἔσθ' ὅπως λείμματα τῶν προαχθέντων,
Μὴ οὐκ ἐπαρκεῖν τοῖσι, κἂν φειδοῖ πάσῃ.
Καὶ δῆτα ἠλήθιζεν εἰκασμὸς Βώρου,
Καὶ ἐξέβαινε πάντα οὐκ ἐναισίμως·
Κἂν γὰρ δριμεῖα ἡ ἔνεδρα, σφοδρά τε,
Ἀνενδότως μέντοιγε ἐκ κυρτοῦ ἄκρου
Συνίσχεν ἐλπωρή τις ἀλακτηρίων.
Καὶ δὴ στόλαρχος, δόξαν οὕτω παρέδροις,
Τριήρεας καθίστα τετράκις δέκα,
Λοιπῶν ἀκόσμως συσσυρεισῶν ἐς βύζην.
Οἰστροῦτο δ' ἰχνεύων τι μηχανημάτων
Πῶς ἂν φέροι ἐδητὴν ἑλλοχωμένοις.
Ἀπαρτίσας δ' ὡς πλεῖστα φορτηγῶν πλοΐα,
Πρὸς Ἀργολικὸν εἰσενορμίζει κόλπον,
Αὐτὸς δὲ προσποιεῖτό τις τολμητίας·
Καὶ γὰρ κατ' ὄψιν ἑλλοχόντων φανθείς που,
Ὡς ναυμαχήσων προσκαλεῖτ' ἐψευσμένως·
Οὐ γὰρ τριήρεις τετράκις μόναι δέκα
Πρὸς πάντα σῶον οἷαι ἀντέχειν στόλον,
Ἂν πλείω ἠτόνησαν αὐτὴν πρὸς νῆα.
Ἀλλ', ὡς ἐγῷμαι, ἣν δόκησις βαρβάρῳ,
Ἐπὰν ἐπισπάσαιτο ναυλόχου ἕδρας
Στόλον, προσκλήσει πλασματώδει τοὐντεῦθεν
Ἐξ Ἀργολικοῦ συμπαρεισάξαι πλοΐα,
Ἕδας φέροντα ὀξυπείνοις κἀέλπταις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' οὐκ ἔλαθε Μαυρακήνιον μῆδος
Τὸ βαρβάρου πλασμῶδες, ὡς φρενακλόπου.
Οὐκοῦν ἐρωεῖ οὐδαμῶς προσεδρίης,
Ἐεργμένοις δ' ἤγγελλε θάτερον δυοῖν,
Πόλιν προδοῦναι, καὶ σόους προφυλάχθαι,
Ἢ ὀξυπείνοις αἱρετίζειν ξυνθανεῖν.
Αὐτοὶ δ' ἀνένδοτ' ἔτ', ἐλπίδος πλήρεις
Στόλου ἀρωγῆς, εἴ γε οὐκ ἔτ' Ἀδμήτην
Ὤπτανον ἐκ Κυθήρας ὡρμένον πέντε
Σὺν νηυσίν, αἷς προΐστα τῇδ' ἐνεδρεύων,
Σεύει δ' ὑποκλέπτοντα ἠπατημένον.

ΤΜΗΜΑ ΙΣΤ'.

Ὀπωρινῆς μέντοιγε ἀγρίης ὥρας
Οὔσης τροπικῆς, ἔξαλα χειμαζούσης,
Καὶ εὖτ' ἔμελλε Μαυροκῆνος πομπεῦσαι,
Τότ' εὐστόχουν δὴ εὖ μάλ' οἱ Ἐπιδαύρου.
Ἐκεῖσε γὰρ τήκοντο ἐξ ἀσιτίης,
Κἀνταῦθα βουλεύοντο ἐρκάνην λύειν.
Βάρβαρος εἴπερ οἰκίας Βαδουάρων
Ἔπαρχος ὢν πρῶτος τε πεντηκοντόρων,
Ἐφίστα Μαυροκήνῳ ὡς οὐ χρὴ μέλλειν
Βουλὴν ἀγεῖραι καὶ φράσασθαι τὰ στόλου,
Δεινὴ γὰρ ὥρη, δεινὰ θ' ἡ βρέμουσ' αὔτη,
Δυσαγκύρωτός θ' ὅρμος ἀμφ' Ἐπιδαύρου,
Ἄμφω δ' ἐέργει τῇδε λοιπὸν δηθύνειν.
Βουλὴ δὲ πᾶσιν ἅδε ἡ Βαδουάρου,
Κἂν Μαυροκῆνος οὐ συνευδόκα μόνος,
Ὑπογράφει δ' ἥκιστα συγγεγραμμένοις.
Μαρκίονι γοῦν ἀντ' ἀδείας εἰσπηδᾷν
Μίμνοντι καὶ κρατῆσαι ἄστεος κἄκρου
Ἐντέλλεται τάχιστα αἴρειν ἐνθένδεν,
Ἔρυμ' ἐρείποντ', ἐκκομίσαι πυρά τε,
Αὐτὸν δέ γ' ἐξέπληττε πρόσφατον δήνους,
Καὶ ἡνιᾶτο μὴ κατίσχων τᾶν χεροῖν,
Κἂν ᾤετο κρυπτὸν τόδ' ἐξ ἀκηράτων·
Οὔπω γὰρ ἦν τι νύττον ἐς κέμμ' ὁπποῖον,
Ἐᾶν σφίσιν ἐψηθέντα μὴ γευσαμένοις.
Νυκτὸς δ' ἄραντι, ἐκδοθέντος συμβόλου,
Εἵποντο πάντες καὶ κατῆρον ἐς Δίαν
Ὅποι ἀμείψεις ἀξιῶν οὓς μίμναζεν,
Ἃς δαψίλευται δεκτικοῖς γερουσίη.
Ἐπεὶ γὰρ ἠσθάνοντο νηλεῆ μόρον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰρωνύμου ξυμβάντα πρὶν γευθμοῦ κράτους,
Ἢ ἐμβιβάσαι τέρμιν ἢ στρατιγίδι,
Ἀνηγόρευον ἀφθονωτέραις ψήφοις
Λαρήνσιον Μάρκελλον, οἷα γνωστόν μοι,
Καὶ οἷα ἐπαρκεῖν μ' ἠθάδ' ἀρχῆθεν μόθου·
Καὶ Βάρβαρός τε τοὔνομ' ἐκ Βαδουάρων
Ἄμβαινε κληθεὶς ἐς προόπτου ἀξίην,
Ἦ Μαυροκῆνος εὐδοκιμήσας πάνυ
Ἀμφιστεφὴς δέδεικτο ἐκ δεινῶν ἔργων·
Τοῦτον δὲ ἀμβίβαζον εἰς ὑπατείην,
Ἦν Ἀνδρέας τοῦδ' ἄχρι ἐκ Κορνηλίων
Ἠγλάϊσε στίλβεσιν οἰακισμάτων,
Οὗ τ' ἐντρέχεαν ἐς λεῶν διοικήσεις
Καὶ φραδμοσύνην μαρτυρεῖ πολιτείη,
Ἥ γ' ἠξίου τὸν ἄνδρα ἀβρονυχόθεν
Βάδην κατέχειν δεινά τ' ἀξιωμάτων·
Μάρκος δὲ ἀνηγόρευτο οἰκίας Βέμβων
Νεῶν ἔπαρχος, ἀντ' ἀρίστου Λαζάρου,
Ὃν ἠρεμοῦντα κέκρικαν μένειν πάτρῃ.
Λαρήνσιος γοῦν οὐκ ἀπόκνει ἐκπλεῦσαι,
Τελεῖν μὲν ἀπτέρως τε ἐντεταλμένα.
Ἦν δόγμα γάρ κεν σύντονον Γερουσίης,
Τὸν πάντ' ἄγοντα ἐς Προποντίδα στόλον
Τηρεῖν πρὸς ἀκρίβειαν ἔνθεν ἐξόδους,
Ἤν τ' ἐνδιδοῖ καιρός τε συμβαλεῖν μάχῃ,
Κᾆν κινδύνῳ τὰ πάντα δεινῶς ἐμπέσῃ.
Ἦν σύντονον μὲν δόγμα, ἀλλ' ἄφιξίς τε
Ἐπαίφνιος κῳτρεῖα ἐκ πειθηνίου,
Ὥρη δὲ ἦν χειμῶνος εὖτ' ἐθηοῦσθε
Ἱκνουμένας ἀντικρὺ ἐς Δίαν νῆας,
Ἐν αἷσιν ἦν στόλαρχος ἠμφισβητεῖτο.
Ἵκων γὰρ οὐ βόμβος τίς ἢ πάταγός τε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ἐμβὰς ἀψοφητὶ ἢ στρατηγίδι
Ἔκηλος εἰσώρμιζε λιμένι πρὸς μέ,
Ὦ καὶ στυγητὸν τοὐκ παρέργου πομπικόν.
Νεῶν γὰρ εἰσιόντι τευκτὰς θυμέλας,
Μόνοις στολάρχαις νάσφιν ἄλλοις ἡμένοις,
Ἠθισμένος ἄτιζε, καὶ γόνυ κάμπτει
Κατ' οὖδας, εἰπών, εἴς ἐγώ τε ἀνθρώπων
Λόγοις δ' ἀπαρτίσαντι ἐκ κοινοῦ μήδους
Ἀναίνεται ἔνδειγμα, γνωματεύεται
Ὡς τοιάδ' οὐ πράξουσι, πράξασι μέντοι.
Τοιαῦτ' ἐπεννοεῖτο, εὖδων οὐδέπως·
Ἀπαρτίσας γὰρ τὰς τριήρεων κρείσσους,
Νηῶν τὰς ὀκτὼ, ἕξ τε πεντηκοντόρους,
Προάξας εἰσπέπλευκε νῆσον εἰς Ἄνδρον,
Οὗ Λάζαρος λοιπαῖσι μίμναζε πρόφρων,
Λιμήνιον μὴ μοῦνον, ἀλλ' ἀντανδρόν τε,
Ὃς οὐκ ἔμελλε τὴν ταχίστην ἱκέσθαι,
Ὀκτὼ σὺν ἄλλαις, ὡς ἀριθμεῖσθαι πάσας
Πρὸς δυσὶ τρὶς δέκα ἐκ Ταρβαλέων,
Καὶ Μαυροκήνων οἰκίας Ἰώσηπος,
Χῶρον Βαδουάροιο ἄρτι πληρώσας
Σὺν προσφάτῳ ἄλλῃ τε πεντηκοντόρῳ,
Ὅς τ' ἐν δέοντι ἦκεν ἀλδαίνων τάχος.
Λάζαρον οὖν στόλαρχος ἦν ἀπαλλάττων,
Ὡς γεῖα τ' ἀμπαύσει βαιὸν ἐν πάτρῃ,
Αὐτὸς δ' ἀσύμφορόν τε κἀεικὲς θ' ἅμα
Δίκαζε τοσαύτοισιν ἠδὲ τηλίκοις
Πάτρης ἑῆς μόγοισιν αὐτὸν δαρθάνειν,
Ἐᾗ δὲ μᾶλλον νηὶ ἰδιωτεύειν,
Οὐ μὴν δὲ ἀλλ' ἄμισθον ἐν σακεσπάλοις.
Ἐπὰν δὲ τῆςδ' εἴχοντο ἐντεταλμένοις,
Ὁδοῦ Μελίται οἵδε τε προσφύουσι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τριήρεσ' ἑπτὰ συζεούσαις δαΐδος·
Ὥστε στόλον μορφοῦσθαι εὔτακτον μάλα,
Ὃν Βόσπορος δέδεκτο ἀμφικευθείς περ.
Μεθ' ἅττα Πάρμης ὀρχάμου φαιδροῦ κάσις,
Φερνησίων ἀγαυὸς οἰκίας πτόρθος,
Ἀφίκαν' ἐγκαίρως τε νησὶ τριτάτοις,
Ἐν ᾧ στόλαρχος ἂς δάΐζεν ἐς στοίχους.
Θρόον λαβὼν γὰρ καινὸν ἐκ διακτόρων,
Ὡς δυσμενεῖς θόαζον ἐκθορεῖν τάχει,
Τοὺς κάρρονας στοίχιζε πλευρᾷ Θρακιώᾳ,
Αἶσι προΐστησ' οἰκίας Μαριπέτρων
Ἱερώνυμον, κἄναντι τῇ ἑωΐᾳ
Ἐκ Κονταρηνῶν οἰκίας Ἰωάννην,
Ὃς Ἀδμήραντος ἄρτι ἀσκεῖ ἀξίην,
Ἥττοσι λοιπαῖς κἀνδεεστέραις ἄλλων·
Βαδούαρον δ' ἔταττεν ἐς μέσον ῥόου
Κατ' ἰδίαν τέσσαρσι πεντηκοντόρων,
Τριῶν μενουσῶν τοὐπίσω μακραῖς ἄλλαις,
Ἐν αἷς στόλαρχος, φαῖδος ὡς ἐν πλανήταις,
Χ' ὡς ἐν καθρόπτρῳ φαῦσις ἦν Ὀλυμπίων,
Ὡς Βοσπορορκίαν μὲν ἀσφαλεστέραν
Τῶν πωποτοῦν δεινήν τε συντεταχθῆναι.
Λαρηνσίου τοιοῖδε ἀσχολουμένου,
Αὐτοὶ δηθύνουσιν ἄρτιον μῆνα,
Ὡς ἐμβριθέστεροί τε ἐνσκήψωσ' ἔνθεν,
Μὴ μνήμονες νῦν ἄρτι τάρβους ἀρχαίου,
Χ' ὡς ναυμαχῆσαι δεύτεροι Εὐρωπαίοις,
Ἀτὰρ τυφῶνος αὐθαδέστεροι φῦντες
Τὰ πρῶτα μέν, κἄπειτα ἢ ποτοῦν φλαῦροι.
Εἵρποντο γάρ κεν ἐρέμ' ἐκτὸς Βοσπόρου,
Θελχθέντες εἰκῇ ἐκ στόλου σφῶν νηρίθμου,
Τοῦτον δ' ὑπερπέοντες ἐκ διπλασίου·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶλκον γὰρ ἑξήκοντα ἐκ τριήρεων
Μακρῶν ἠδ' ἐννέα τε κλητῶν μαώνων,
Νηῶν δὲ κοίλων δὶς δέκα πρὸς ὀκτώ τε,
Ὧν σολτάναι μέγισται εἴκοσ' οὐχ ἧτταν·
Τρίηρα δ' αὖ νήριθμα ἀσπέτου πλήθους
Λειμῶνα ἐμφαίνοντα τὴν Προποντίδα,
Ἱστῶν ὅσην ἔμφασιν ἐρδόντων δρίους.
Κἀφρῷ μετ' ἦμαρ σφῶν σεβασμάτων φῦντες,
Ἐπίτριτον δὴ πρωϊαίτερον φάους,
Πλησιστίου πνεύσαντος, ἐκπλεῖν προὐθύμει,
Πεπεισμένοι νίκεστρον ἔσχειν τοὐντεῦθεν.
Ἦν γὰρ στόλαρχος αἱρεθεὶς νηγάτεος,
Καὶ ἠγγυᾶτο δυσχερῆ θ' ὑπερβῆναι.
Ὡς δ' ἂν διεκπλεύσοιεν αἰκίου ἄνευ,
Δεινὰς ἐπάλξεις τεύξ' ἑκάτερθεν ῥόου
Κἄν οὐδὲν ἐξῴκιζον ἀμφὶ ἐρκάνην,
Στερῥῶν μενόντων ἐκ θυμοῦ ὑπερζέστου,
Νῆας δὲ προὐκτίθησιν εἴλαρ οἱάπερ,
Αἳ γαύρικες χρέμιζον ἀφετηρίῃ,
Εἵποντο δ' ἑξήκοντα αὐταὶ τριήρεις,
Καὶ ἐννέα πρὸς ταῖσδε κληταὶ μαῶναι,
Νῆες δ' ἔναντ' ἔμιμνον, ὡς συνταχθεῖσαι,
Οἵ' ἀρτάνη τις ἔλλοπας προσμίμνουσαι,
Ἢ καὶ ἀκοντίσουσαι ἐκπλεῖν ὀργώσας·
Τριήρεας δ' ἔλυσαν ἀντίον ῥόου,
Κώπαις δ' αἴσων εἰσβολὴν καραδόκουν.
Ἀλλ' ἐξίτηλον ἦμαρ ἐλπωρῆς τόδε,
Οἷς ἵμερος τοσόσδε ναυμάχων ἔργων.
Ἡγούμεναι γὰρ σολτάναι λοιποῦ στόλου
Εἰς λαιὰν ἐξείποντο τὴν κατ' Ἀβύδου,
Γνώμῃ σταθερᾷ αἰσιοδρόμου ἔκπλου,
Γαῦροι νέοντες νόσφι τοῦ κοίλων στίφους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπὰν δὲ ἠντίαζον ἔρκος Ἀβύδου,
Πλησίστιοι τέτραπτο πρωρῶν ἀντίον,
Κἀγωνίῃ δίζοντο νόστιμον τρίβον.
Δύω δὲ τῶνδ' ὥρωρον ἄκρῳ ῥηγμῖνος,
Καὶ λοιπαὶ ἠσχολοῦντο ἕκτορας τρέπειν,
Ἀείποτ' ἀλλήλαισι συγκεχυμέναι.
Ὁ δ' ἐγγυηθεὶς δυσχερῆ θ' ὑπερβῆναι,
Ὤλωλε νοῦν τε, δράμα τ' αὐτό, καὶ ἔργον.
Τριήρεας δ' ἤνωγε, πείσματ' ἐκ νεῶν
Λαβούσας, ἄψ τρέπειν τε, ἐντὸς τ' ὀλκάζειν,
Αὐτὸς δ' ὄπισθεν ἕπεται παραπταίων.
Ἐπεὶ δ' ἀήτης ἦν τραπεὶς ζεφυρόθεν,
Καὶ εὐμάριζε τοῖςδε οὐδὸν τὴν πρόσω,
Λάζαρος ᾗ προὔκειτο πρὸς Σηστὸν στίφους,
Πρυμνήσι' ἐξέταμεν ἀγκυρῶν ἄπο,
Καὶ οὐριοδρόμει τε πρὸς τάξδ' αἰσίως·
Πεταννύσας γὰρ λαῖφος οὐδὸν ἐκκόπτει,
Ὡς μὴ παλινδίνητος εἴη σφίσ' ἔκπλους,
Ἀλλὰ κτέαρ γένοιντο ἀδικηθεῖσι.
Καὶ οἷσιν οἵδ' ἔδωσκον οἰμωγὰς μόθου,
Δίκην τάχ' ὡς τίσωσιν ἐξ ἀμοιβαίου.
Ὡς Μωκενῖκος ἴσχεν ἀρκτῴαν μοῖραν
Ἀμφιπλέων ἔγγιστα ἐνδιαστρόφως,
Καὶ ἠλόα τε ἀθρόοις κεραυνοῖσι·
Λαρήνσιος δ' εὔθυμος ἦ ποτοῦν πάλιν,
Σχητηρίας ἤνωγεν ἐκ βένθους αἴρειν,
Σημαίαν ἐκπτύσας τε πρὸς ῥοῦν ἀντέβη,
Λοιπῶν ὁμαιχμίης τε συμπροπεμπόντων
Μᾶλλον Μελιτῶν, οἷς παρίστασθαι δόγμα.
Οὕτω τε νῆες, αἵ τε πεντηκόντοροι
Διαδραμοῦσαι ἄμμιγ' ὠμάρτουν πᾶσαι.
Καὶ δὴ μάχη κροτεῖτο δεινὴ στυγνή τε·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τριήρεες γὰρ κἂν ἀτάκτως κἀκόσμως
Μίμναζον ἴσχειν σολτάνας τιμήορους,
Ἀνενδότως ἤμειβον, ἀγκυρωταί περ,
Πολλοὶ δ' ἐτιτρώσκοντο ἐξ ἑκατέρου.
Ἐπὰν δὲ Μωκενῖκον ἤθρουν ὁρμῶντα
Ἐπ' αὐτοὺς εἰσρέοντα ἐκ τροπῆς ἄλλης,
Ἀντώνιόν τ' ἔπαρχον Ἀδρείας κόλπου,
Ἐξ οἰκετείας Βαρβάρων, ἐρρωμένως
Ὡς ἔγχελυν θέοντα, συμπράξοντά που,
Ἐξῆς δὲ καὶ Βέμβον τε, αὐτὸν τ' Ἀλμήρην,
Σώτειραν ἡσπάσαντο φύξιν ἐς γέαν,
Αἴσχει δ' ἀλυσκάζουσι καὶ μᾶλλον βέει,
Ὁλκάσιν αἷς κέχρηντο εἰς ὑπουργίην.
Τοιῆςδ' ἀδείας ἀθρόας προσκαλούσης,
Αὗται ἐπεισπέπαικαν ἐς τάςδ' αὐτίκα,
Ἀνὰ δ' ἕκαστος εἶλκεν εἰσπηδῆθεῖσαν.
Μόναι δέκα πρὸς δυσὶ σὺν στολαρχοῦντι
Δῆριν πέφευγον, δόγμ' ἄνακτος παρβᾶσαι.
Λάζαρος οὖν ὑπερβὰς ἢ προσῆκέ που,
Αὐτὴν καὶ ὅς γε συμπέπαικεν εἰς σύρτιν.
Τρωθεὶς βελέμνῳ θατέρων δυοῖν γλήναιν,
Ἐκφορτίσας δὲ πυρὰ καὶ πυρεκβόλους,
Πίμπρησι νῆα μείνασαν σὺν ἁπλώτοις,
Ἐπὰν δέδειχεν ἔργ' ἀριστουργημάτων,
Χ' ὡς οὐ παρεξέβη τε πατρῴου κύδους,
Ἀοιδίμοιο Μωκενίκου εὐέρκτου.
Λαρήνσιος δὲ κοίρανος διαμπερές,
Ἐπὰν στόλου ἔγεντο θατέρου ἄφαρ,
Τιτρώσκεται κατὰ κρὰς ἐκ πυρεκβόλου,
Ἀκοντίσαντος ἢ Ἀβύδου κρηδέμνων,
Ἢ σολτανῶν ὁποίας οὔτις εὖ οἶδε·
Μείνας φερέτρῳ ἧς στρατηγίδος πρύμνῃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔτι ξιφήρης ὡς ἐποτρύνων μάχῃ·
Καὶ ᾐσθάνοντο ὑψόθεν μονῳδίαι,
Θείου καταυγάσαντος αἱμῶδες κτέρος,
Ὡς εἰς Ὄλυμπον ἦν πτατὸν κῆρ ἀρίστου,
Ἐξ ἀγαθοῦ μὲν μαχέσαντος ἄριστα,
Τοιαῦτ' Ὀλυμπίοισι κηρὸς εἰς ἄρσιν,
Καὶ γηΐνοισι κῆδος ἐκ σκαφῶν αἴθους.
Βαδούαρος γὰρ ὡς προοπτεύων στόλου,
Οὗ οἰάκησιν ἦν χρεὼν πεπιστεῦθαι,
Μετ' αὐτὸ οἷτος λήξεως στολαρχοῦντος,
Βέεσσ' ἀλυσκάζουσιν ἐμβριθῆ μόθον
Μὴ καιρὸν ἐνδοὺς ὡς συλλέξαι δεσμώτας,
Προὐπεφθάκει ὅς, καὶ τριήρεις λάζυται
Αὐτοῖς ὅπλοις, ὡς εἶχον, ἠδὲ τ' αὐτάνδρους·
Λάϊζε δ' ὀκτὼ ἐκ Μελίτης σταυρούχοις,
Καὶ τρεῖς ὁμωνύμους τε πεντηκοντόρων,
Πασῶν δὲ καλλίστην τε αἱρεῖται ἄλλων,
Μητροκτόνου παῖς ἦν διεῖπεν ὧν βέϊς·
Λάζαρον ἦδ' ἐφίστα, δεσμώτας λύων,
Καὐτοὶ παρεγγυῶντο ἀγγελιότην
Τὸν αὐτὸν εἰσκομίσαι ἐς πολιτείην,
Γάνος τόδ' ἐμπλήσοντα ἔμμοχθον πάτρην.
Λήξαντος δ' οὖν ἀγῶνος ἐκ πειθαρχίης,
Τῷ σολτάνας μὴ οἵας ἀντέχειν ἔτι,
Ὁ μὲν μίαν εἵλκυε, καὶ δύω ἄλλων
Μὴ πλωτὰς ἐμπρήθουσιν, ἄλλα τε σκάφη,
Εἰς οὐδένειαν γαυρότητος Ὀτμάνων,
Ὡς οὐ πολιτείη τε ἐνδεὴς τοίων,
Ναύσταθμος ὡς πλήρης τε προὐργιαιτέρων.
Πυροῦτο Λάζαρος δὲ νηὸς πρησθείσης·
Ἐκ σολτανῶν γὰρ αὐτὸς ἦς ἦν ἀγρεύστης,
Ἔτει παραῤῥυέντι τῇδ' ἀεθλεύων·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰδήρατος γὰρ παρμυθεῖτο, ἀλλ' ἔμπης
Ἀθρῶν ἀγρεύσει τῇδε καλλιστευούσας
Καὶ πλειονάς τε ἦν πάτρην κεκτημένην.
Κτανθέντας ᾧδ' ἂν ἦν χρεὼν μαθητιᾶν,
Παύρων δὲ ὄντων, κἀπισήμων οὐδ' ὅπως,
Σιγητέον μᾶλλον μὲν ἢ ῥυθμητέον.
Παίδων μόνον μνησθεῖσα οὔνομ' αὐδήσω,
Οὐ πρὸς γόον φρενοῦσα, ἀλλ' ὑμνῳδίην,
Οὐ γὰρ μόρος τοιοῖσδε, τέρμα κλαυστέον,
Κῦδος δέ γε φθίνοντας ἀθανατίζον.
Ὁ γάρ κε Νικόλαος, οἴκου Μηδίων,
Ὑπερφρονῶν ἤδης τε κούσιῶν τόσων,
Ἄγχι στολάρχου ἵστα ῥίψεσ' ἀντέχων,
Καὶ συμποτᾶται ᾧ βολὰς ἀποτρέπει·
Καὶ οἰκίας τε Λευκάρων Ἰωάννης,
Ὧν ταξίαρχος ὁπλιτῶν τῶν ἐνθένδεν·
Καὶ Ἰάκωβος, Κλωδίων ἐξ οἰκίας,
Συνεφθάρησαν ἔνθα, ἐξ ἑταιρίης
Αὐτῷ πυρεκβόλῳ ἐν στρατηγίδι.
Κἄν δ' ἠνιώμην ὅσσον ἐκ φθορᾶς παίδων
Παύρων τε ἄλλων, ἡδόμην ἔμπης πάλιν
Ἀθροῦσα συνδεσμώτας ἡμιμυρίους
Βεηλικῶν λυθέντας ἐκ χριστωνύμων,
Τόσους γε ἀγρευθέντας, ὅσους κτανθέντας
Ὑπὲρ μέτρον πέπιθμεν, αὐτῶν λυθέντων.
Ἀλλ' ἀσφαλῆ Βάρβαρος ἐκ Βαδουάρων
Θεὶς τὰ στόλου, στόλαρχον εἶτα κηδεύειν,
Ἀκμὴν νέκυν μείναντα ἐν στρατηγίδι,
Ζητεῖ ἐν ἀξιώμασιν ἀφθονωτέροις,
Καὶ αἷς τιμαῖς ἐξόν τε ἦν ἐφαλίοις·
Καὶ συγγίνοντο προστάται καὶ κοινῶνες
Βαδουάρῳ ἄσοντες οἰμωγῳδίην,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἠκροᾶτο ἐκ τόνου τοιοῦδέ πως·
» Φωσφόρε φεῦ, κατέδυς! τί Λαρήνσιε ἡμῖν ἐσεῖται;
» Τίς ποτ' ἔτι δνοφερὸν νέφος ὅπλων Ὀτμανιδάων
» Σκιδνήσειν φάοι τε φορᾷ τε τεῆς πυνιτῆτος,
» Τῶν ὅσσων ἄπ' ἀλητευόντων δήρεῖ τῆδε,
» Οἷά περ αὐτὸς ἐθάς, Μάρκελλε, ἀποστυφαλίζειν;
» Τοῦδ' ἄχρι σαῖς πραπίδεσσιν ἔρειπε μάλ' ὀφρὺς Ὀτμάνων,
» Καὶ ἁλίου ἀλκῆς ἠτέμβηται τ' ἐπὶ πάγχυ.
» Νῦν δ' ὅτε καὶ κατὰ γαῖαν ἐῆν κλέος ἡμῖν ἀεῖραι,
» Αὐτὸς ἔδυς, Μάρκελλε· τί λοιπόν; φεῦ, ὅσα δεινῶν!
» Ἀλλά γε οὐρανίωσι τὶς ἵμερος ἵκαν' ἀωρὶ
» Ἀρπαλέως τόνδ' ἧρω ἀπαίρειν δώμασ' Ὀλύμπου;
» Τὶς χρειὼ ἔτ' Ὀλύμπῳ νῦν ἄστρων νεοκμήτων,
» Εὖτε μάλιστα χατεύομεν ἀνδρὸς ἀρήϊ' ἐς ἔργα;
» Ζεὺς ἄρ' ὑπερτίθεται ἔτ' ἐρυγμοῦ τέρμα ἱμερτόν.
» Ὡς δύσληπτά τε δεινά τε μήδεα οὐρανιώνων!
» Μὴ κόμπαζ' ἀγερώχως Θρήκη τηλίκον ἄνδρα
» Κατκτενοῦσα· καὶ ἀνθρηδὼν σφετέρῳ ἐνὶ πλήκτρῳ
» Οἶδε τιτρώσκειν· βαιᾶς ἐξ ὀδύνης δὲ νυγέντος,
» Ἀσκέπτως αὖτη ἐπισύρει σχέτλια πότμον.
» Μὴ ᾧου ἂν ἔτρωσας, μὴ σέ τε ἧττον ἐτρῶσθαι.
» Εἰ φθορὰ τοῦτ' Ὀτμάνοισί τε καὶ κράτεϊ σφετέρῳ τε.
» Ἴσθι τρόπαια μάλιστα διαυγέα ἔμμεναι ἄλλων,
» Αἵματος εὖτε πλέον χέεται ἐν τῷ τάδ' ἄρασθαι.
» Μνήμον' ἔχεις, Μάρκελλε, πάτρην, αἰῶσ' ἐπὶ πᾶσιν,
» Αἵματι γάρ κε τεῷ ἐκ κυδίστων ἀριδήλῳ,
» Τουτὶ τρόπαιον ἐπαυγάσας αὐτῇ ὤπασας εὖχος,
» Ἶσον ὅτου τάχ' ἄν, ἀλλά γε κρεῖσσον πώποτ' ἐσεῖται. »
Κήδους περαιωθέντος ἀμφιαλίου,
Κῆδος Βαδουάρῳ τε ἐντελεστέρων.
Βουλὴν δ' ἀγείρει σκέψεως πρακτῶν ὕπερ·
Ἄρδην δ' ἐπεὶ ὤλωλε δυσμενῶν στόλος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μὴ χρῄσαντας νῦν ἔθ' ἁλίων ἔργων,
Καὶ ἐς τὰ γαίης κηδιοῦν πειρητίσαι,
Εὖτ' ἠτέναι μάλιστα κἤρ ἠτημένων.
Ἀολλέοντο δ' ἔνθεν ἠδ' ἔνθεν στόλου,
Ὁ μαρκίων πρώτιστα, εἶθ' οἱ ἐν τέλει,
Ὠμοφρόνουν δ' ἥγημα πάντες ἀσμένως,
Διχεφρόνουν μέντοιγε ταὐτῷ ξυμβαίνειν·
Οἱ μὲν γὰρ ᾠήθησαν ἄρμενον δράμα
Μὴ δηθύνοντας ἐς Κύδων' ἀνακάμψαι,
Ἐκ μηχανῆς γὰρ ἐξὸν αἵρεσθαι πάλιν,
Οἷς ἀπρόθυμον ἦτορ ἐξ ἀνωΐστου·
Ἀντώνιος γὰρ οἷς δε, οἴκου Βαρβάρων,
Ἔπαρχος ὁ συμπράξας ὕσπληγκι πρώτῃ,
Καὶ ταμίας τ' ἔριζον ἄλλοις σὺν πρόμοις,
Καὶ ἐμπέδουν γράμμασι γνωμοτυπίην·
Ὁ μαρκίων δ' ἦν γνωμότυπος ἀλλοίων,
Ὡς πλειστογύμναστος δηΐοις ἔργαις·
Ἐκ μηχανῆς γὰρ κῦδος οὐδὲν πορθοῦντι,
Κἂν ᾖ πόλις τ' ἐχυρὰ τῶν δυσπορθήτων,
Οὐκ ἀσφαλές τε τοὔργον, οὐκ ἀεὶ γάρ κεν
Τάδ' ἐξέβη εὔφημα τολμησαμένῳ·
Ἀλλ' εἴγε τολμήσειε πειρᾶσθαι τάδε,
Ὡς ἂν σκοποῦ ῥῇστα ἐντετυχείη,
Δεῖ πρῶτον ἀμπέχεσθαι ἀλκῆς συμμέτρου,
Ὥστ' ἀντέχεσθαι οἷος ἐμφανοῦς πάλης,
Ἢν ἂν προαίσθησίς τις ᾖ συνηγόρις.
Ἡμῖν δὲ ἀλκὴ ποία τολμᾷν τοιάδε,
Νῦν ὑστερουμένοισιν ἱππικοῦ σθένους;
Ἀντώνιος δύσθυμος ὦρτό μοι φεύξας.
Βαδούαρος δ' εὔθυμος ἀρκεσθεὶς λόγοις,
Ἔνευε Βώρῳ καὶ ἀνῄνηται οὐδέν.
Πρώτιστα δ' ἐς Λεύκοφρυν ἦν σκέψις πλόου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἧς αἵρεσιν σκέπτοντο, οὐ πεῖραν δ' ἔρδειν·
Ὁ μαρκίων γὰρ ὃ σκόπευεν ἀρχῆθεν,
Βαδούαρός τε συμπαρήνει βουλείην.
Νηῶν δ' ἀφῆκ' ἓξ καὶ τριήρεις δὶς δύω,
Ζεῦγος δέ τε πρὸς ταῖσδε πεντηκοντόρων,
Ὡς ἂν ἀνιμάσωσιν ἁλὸς ἐκ βένθους
Πυρεκβόλους τε βρυχίους, πλῆθος θ' ὅπλων
Ποντουμένων νῦν, ἐκ νεῶν πυρουμένων.
Αὐτὸς δέ γ' ἐς Λεύκοφρυν ἐγκατασκήπτει·
Μαρκίονι δ' ὤρεξε κῦδος οἰκεῖον,
Χωρεῖν ἀδείῃ πάσῃ ἔργοις γηΐνοις.
Ὃς δ' ἀμβολῆς ἄνευθεν ἐκτίθησ' ἔθνη,
Εἶτα στόλον σύνταττε συμπεφραγμένον,
Πολίσματος κατ' ὄψιν ἠδὲ φρουρίου,
Ἐξ οὗπερ ἦν λώβη τίς, ἠίστη μέντοι.
Ὡς φροιμίων ἀγῶνος ἐμπεδωθέντων,
Γάλλους ἔχειν ἔταττε δεξιὸν κέρας,
Οὓς τριπτύχους δαΐζεν αἰγιαλόνδε,
Καὶ σκαιὸν αὖ προὔτεινε Γερμανῶν φύτλῃ,
Καὶ ἐν μέσῳ ἵστησιν Ἰταλῶν τάγμα,
Μεθ' οὓς καφράκτων τε ἱππέων ἴλην,
Διττόν τε τάγμα αἰχμαλώτων σωθέντων,
Οἵ σφίσιν ἠρέτιζον ἀγὸν ἐκ φύτλης
Γετῶν ἄριστον, τοὔνομα Ἰωάννην,
Πειθήνιον μέντοι ταξιαρχοῦντι
Γεωργίῳ υἱεῖ μοι ἐκ Σαγγινάκων·
Τούτων δ' ὄπισθεν Ἀλβανοὺς κ' Ἰλλυρίους,
Γραικούς τε ἐν τούτοισι συντεταγμένους·
Προὔτατε δ' ἐν τοσαῖσδε Ἀνδρέαν Κρούτην
Ἰλλύριον, πληροῦντα οὐραγοῦ τάξιν.
Ἄλλων δ' ἀγωγῶν τοὔνομ' οὐκ ἔχω λέγειν,
Μὴ ἠθάδος λάρυγγος ἀνδραγρυλλίζειν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γερμανικιστὶ τετραπλοῖς ἐν ξυμφώνοις.
Ἴλην δὲ διττὴν ἱππέων καταφράκτων
Ἧς ἡγέτης Δομνῖκος ἐκ Κοραδίνων,
Ἧς δ' αὖ πάλιν Ματθαῖος ἀγὸς Βουρίκης,
Καὶ μαρκίων Φραγκῖσκος, οἴκου Βιλάλτων.
Ὣδ' ἀμβιβάσας ἵππῳ, ἀπβὰς ὃς πρῶτον,
Τὴν ἵππον ὅσην συστατεῖ τοῦδ' ἀρετῇ.
Μέγαν δ' ἐπιστάτιον ἐν πᾶσι στρατοῦ,
Ἔσχ' Ἀνδρέαν ἄριστον, οἴκου Βερτόνων,
Καὐτῷ τέκμαιρεν, ἀμβὰς ὑψόθεν λόφου
Συμμιγνύειν φάλαγκας εἰς ὑπωρείην,
Λόφου ἔναντι, οὗ στράτευμ' ἀναρσίων
Καραδόκει σύγκρουσιν ἀλύκτου μάχης.
Αἰσθεὶς δ' Ἀχμήτης συμπλακέντας ἀλλήλοις,
Στρατῷ τε ἄμφω, καὶ τραπέντας οἰκείοις,
Ὠκυδρόμει κράτιστα, οἷα πρὸς πόλιν,
Πειρᾶτο δ' ἔμπης πλευρόθεν στρατοῦ κροῦσαι.
Μύλων ἔναντι ἐπτερύγιζον μέντοι.
Πρὸς γάρ κεν αἰχμάς, αἵ στρατῷ ἀνθ' ἑρκίων,
Δεινὸν καταντᾷν κἂν θρασεῖς ἱππηλάται·
Τοιᾷδε ὀκχῇ ἐμπεδοῦντο σφῶν θέσεις,
Ὡς καὶ διώκειν τούσδε μέχρι που μύλων,
Πρὸ τειχέων δὴ ἔκπαλαι τετευχθέντων.
Ἀθρῶν δ' Ἀχμήτης κέντρον ὡς ἦν λακτίζων,
Καθείργνυται κατ' ἄστυ ὡς προασπίσων.
Καὶ μαρκίων ἤντυνεν ὡς καταστρέψων·
Σύδην δὲ προσβίβαζεν ἐς θέσιν μύλων
Φάλαγκα, καὶ ὕπερθεν ἄστεος τάφρου,
Διχδάδιον τοιάνδε, χ' ἱππέας πάλιν
Λοιποῖς στρατοῦ σύνταττεν, ἁλὸς ῥηγμῖνι,
Ὡς καὶ στόλον κατίσχεν ὅρμου ἀντίον,
Ἀρχῆθεν οὗ τέτακτο συμπεφραγμένος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁμοῦ τε ἠσχολοῦντο ἀρχιτεκτόνων
Γεώργιος Σκότος τε καὶ Ἰωάννης,
Ἐκ Σηραβάλλου Βελγικῶν ἄμφω φύτλης,
Στίχοιν ἀγήτορές τε ἐμπέραμοί τε,
Ἀμφ' ἄστεος χάρακα δρᾶν ἐμβύθιον,
Δι' οὗ πυρεκβόλοι τε καὐτοὶ ἱππέες
Οἷοί τε βαίνειν καὶ ἀλώβητοι πέριξ.
Πρότριτα δ' ἐμπήγνυντο μαχεῶνές τε,
Οὓς ὡς καλεῖν δεῖ Ἰταλοῖς βαταρίας,
Ἀγνῶτες εἴγ' Ἕλλησι αἱ τριβαὶ νέων·
Εἷς μὲν πάροιθε τοῦ νεῶ Ἀθανάσου,
Καὶ εἷς μύλων ἔνερθεν, ἄλλος δ' αὖ πάλιν
Πολίσματός θ' ὕπερθεν, οὗπερ αἱ βόμβαι·
Ἀνὰ δὲ εἷς συνίσχεν ἐκ πυρεκβόλων
Τέσσαρας ἢ καὶ πρός τι τῶν ἀθεσφάτων.
Καὶ ταῦτ' ἀπεργάζοντο ἓξ ἐπ' ἠμάτων,
Ἐν οἷσιν οὐ βόμβος τις ἢ πάταγός τις,
Ἀλλ' ἠρεμαίους ἴσχεν, ὡς μὴ ἠθάδες
Ἀλγηδόνων τῶν ἥττω ἀτίζειν μείζους.
Ἀλλ' ὀψὲ ὑστεραίας ἡλίου δῦντος,
Βόμβας ἀνῆπτον κἀσελάγιζον κνέφας,
Αὐτοῦ δ' αὖ ἀντέλλοντος, ἐκ πυρεκβόλων
Αἶθος μέγιστον, ὡς δοκεῖν κεραυνοῦσθαι.
Ἀνένδοτος μέντοι γε ἔνδον Ἀχμήτης,
Κοὐκ ἐνδιδοῦτο μηδαμῶς σοφῷ Βώρῳ,
Ὃς ἐγγυᾶτο, ἢν προδοίησαν πόλιν,
Οὐχ ὅττι μείλιχον μιν εὑρεῖν ἐντεύξει,
Ἀλλ' αὐθόμαιμον οἷα δεξιωθέντα·
Καὐτὸς κατέγνω καὶ ἀναίνεται ῥήτρην.
Πάλιν δὲ ἀκρόνυξ τε, καὶ πάλιν βόμβαι,
Πάλιν πυρεκβόλοι τε, ἠοῦς φαυσκούσης,
Φρίκαι πέριξ αἴθρης τε πυρπολουμένης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ἣν παραινεθείς περ ἀνήνατο πρίν,
Ἰκτὴρ τανῦν πρόσφυξ τε προσπύσσει ῥήτρην.
Μεσηγὺ γάρ κεν ἤματος περιδρόμου,
Βόμβα τις ἐμπέπαικεν εὐρείῃ βάρει,
Ἣπερ κόνις τηρεῖτο πυρφόρος πλείστη,
Καὶ πυρπολεῖτο βάρις, ἀγχίγειοί τε,
Οἰκίσμασ' αὐτοῖς, πατριαί τε παμπήδην.
Νεήλυδες τοιοῖσδε δειματωθέντες,
Ὑπέστρεφον τοῖς νέρθεν ἄστεος ῥύβδην·
Ἐκ μαχεῶνος μέντοι αἰγιαλόθεν
Ὀκτὼ πυρεκβόλοισι συσκευασμένου,
Βάλλοντο καὶ τηνόθεν ἐντόνως μάλα.
Καὶ αἰχμαλώτων ἐκσαωθέντων στίφος,
Σημαίαν ἣν ἐρυθρὰν ἴσχον ἰκρίῳ,
Εἰς δεῖξιν ἀσπόνδου τε καλύτου μάχης,
Αὐτοιὶ πειρήτιζον ἁρπάγδην ἔλξαι·
Αὐτοὶ δὲ ἠμύνοντο ἕνεκεν κύδους,
Προπηλακίζοντάς τε κἀββαλον ῥίμφα.
Ἀλλ' ἣν τιν' ἡσπάζοντο, ἧς τ' ἠγωνίων,
Τοιάνδε δυσχεράνας ἦρεν Ἀχμήτης,
Καὶ ἀντ' ἐρυθρᾶς, ἄργυφον πήξας ἄλλην,
Μαρκίονι τέκμηρε σῆμ' ἀστρατείης,
Καὶ ῥήτραν ἤτει ποίαν εἰσηγουμένῳ.
Οὗτος δ' ἀπήντα μήτι βαιὸν δηθύνειν,
Πύλην δὲ κεμηῶσιν ἀμπεταννύειν,
Ὡς μήποτ' ἐκ ῥήτρης ἐσπεπαικότες
Ἀναιρέσωσι καὶ ἄκοντός μου πάντας,
Συναρπαγῆς τε κἀκ δικήσεως χάριν·
Ἄλλως τε δ' ἐγγυᾶτο σώους ἐκπέμπειν
Ἔναντί που ἠπείρου, ἢ ἄν τις χαίρει·
Αὐτοῖς δὲ προστάταισιν ἓξ ἑκάστῳ τε
Παρεία ἵππους, εἴ τι τε σθένος φέρειν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τραπεὶς δ' ἐφ' ὁπλίταισιν ἐξελιπάρει,
Μὴ πρὸς θεοῦ ἔνταλμα παρβαίνειν τόδε,
Ὑποσχέσεις πληροῦν δὲ εὐλαβουμένους·
Χρειὼν ἀσινεῖς γάρ κεν οἴκαδ' ἱκέσθαι,
Ὡσεὶ ἄραντας στυγερὰς μόθου λώβας.
Αὐτοὶ δὲ πειθαρχοῦντες, οἷα στρατάρχῃ,
Εἰς ἄστεος πέζευον ἑρκίῳ πρώτῳ,
Οἱ δ' αὖθις ἐξήεισαν ἐν πρηναῖς κόρσαις.
Ῥιφεὶς δ' Ἀχμήτης προστατείης σοειστής δε,
Κατωπὸς ἔστη ἀντίον στραταρχοῦντι,
Γέμων ἀτάρτοι σκήψεως ὑπερκόμπου·
Φάτιζεν εἴπερ αὐτὸς ὡς θρασυνθείς περ,
Ἀμυντίας ἔγεντο ἄστεος πρόφρων,
Νεήλυδες δ' ἐπείπερ εὐώρουν μάχης,
Σφῶν ξυμμαχεῖν δ' ἀπηῦρον ὀξεῖ προστάτῃ,
Τιμὴν ὀφλισκάνουσιν αὐτὴν θανάτου·
Ἐκλιπαρῶ, πλήροι σὺ ἔκδικον δίκην.
Καὶ μαρκίων ἀντηύδα ὡς στραταρχοῦντας
Ὑποσχέσεις σφῶν οὐ δέον μεταλλάττειν.
Πῶς γάρ κε λοιπὸν ἔξομεν πειθηνίους,
Ἢν δῆριν ἐσοίσωμεν ἀστυγείτοσιν;
Ἐνδείξεως τοιᾶσδε ταῦτα θρυλλούσης.
Ἵκων Βαδουάρῳ τε ὡς ἀγιστεύσων,
Τὰ δ' αὐτὰ εἰσηγεῖτο καρδιοστόνως,
Ἀλλ' αὐτά τ' ἠκροᾶτο, κἀποπέμπεται
Κενῇ ἐπὶ τριήρει Ἀσίης πέδῳ,
Ὡς οἵ τε λοιποὶ σὺν γυναιξὶ παισί τε,
Δυοῖν τε ἄλλαιν ἐξ ἁλουσῶν ἐν μάχῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ ΙΖ'.

Τέρμ' αὐτὸ νῦν Λεύκοφρυν ἦν χρεὼν ἴσχειν,
Ὀτμανίδαις κλοπείᾳ ἐκ πολιτείης
Ἐξαρπαγεῖσαν ἔκπαλαι κακορράφοις,
Ἐπὰν σφίσ' ἀμπέπτωκε Βύζαντος κράτος·
Καὶ αὖ πολιτείαζε συγκύψαι πάλιν,
Ὡς τἄλλα πάντα, οἷς θέμις μεταστείχειν,
Οὐρανιώνων τοιάδ' ἄττ' αἰνιζόντων.
Τοιαῦτα ἦν μέμνησθε, τλήμονες παίδων,
Προαισθάνουσα προὔτρεπον παρμυθεῖσθαι,
Ἐκλύσεως τέκμωρα εὖ πεπεισθεῖσα,
Κράτους Ὀτμανίδαισι κεκλοπευμένου·
Τανῦν δ' ἀπαρτισθέντα νημερτεῖ φαύσκει,
Καὶ οὐκ ἔτ' ἀμφίσβητα τοῦ μὴ μ' εἰρῆσθαι.
Τοιᾶσδε γάρ κεν ἠνεῳχθείσης πύλης,
Οὐ δυσχερές τε μειζόνων θ' ὑπερφέρειν.
Νῦν γὰρ πολιτείη τε εὐθυμουμένη,
Οὐ φείσεται ὅσων τε θησαυρισμάτων
Πεισθεῖσα ταῦτα, ὥς με μὴ ὀλωλέναι.
Λάζαρον εἴπερ οὐκ ἐλιννύοντά πως
Αὐτῇ τριήρει ὡς ἵκοντα ὠκέως,
Πάτρῃ θριαμβεύοντα δέκτο ἡδέως,
Καὶ ἱστοροῦντος ἄϊον θαμβαλέως,
Τέρψει ἀλήκτῳ χαρμονῆς ἀμυθήτου.
Νέκυν μεθ' ἅττα τάρχιον Λαρησίου
Κεδνῇ προπομπῇ καὶ κτέρει σεβασμίῳ,
Κἂν τοὔνομ' ἐντέτακτο ἐν τοῖς εὐέρκτοις.
Αὐτὸν δὲ ἠμείβοντο ἱππέων τάξει
Χρυσῷ δεαίρῳ πουλιτιμήτου ὤνου,
Οἵ' ἀγγελιῶτιν μὲν ἔργων κυδίστων,
Καὶ ὡς προεξάρξαντα αὐτὸν παιᾶνος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρώτοισι δ' ἐξαίρουσιν ἐν Γερουσίῃ,
Κἂν ἀξίαις οὐκ ἤρκει ἃς διδοῖ χρόνος·
Ἀλλ' ὅς γε κἂν αἰζηὸς αἷς δ' ἀριστείαις
Παρήλικας παρῆλθε πρὸ τροπῶν ἥβης,
Καὶ Ἡρακλῆν γίγαντος Ἀνταίου πτῶμα
Σεπτὸν δέδειχε, καὶ ἐν ἥρωσ' ἠρίθμει.
Ὃ δ' αὖ μέγιστον καὶ θεήματος πλῆρες,
Τὸ πάντας εἰς ἄνδρα ἐμβλέπειν ἀγαμένως,
Ὡς καὶ στόλαρχον ψηφίσαι αἱρουμένους,
Ὡς ἐξ ἑνὸς πάπταινον ἀξιωτέρῳ·
Κἀνηγόρευον Λάζαρον πάσαις ψήφοις,
Κἂν ἀξίην θεσμός τε γηραιοῖς νέμειν.
Προῆγον οὖν τὸν ἄνδρα ἐς τάδ' ἐντίμως,
Ὡς αἶσα ᾧ τ' ἤντυνε χωρεῖν φαιδίμως,
Δέοντα ῥύβδην ἐνδιδούσης ἀφθόνως.
Ὑπερφέρειν ὡς οἷος ὁπποίων ἔργων.
Ἐπείπερ Ἀλέξανδρος ἄρτ' ἐπεισπασθείς,
Ἐς παπικὴν τοσήνδε παγκρατησίην,
Οὐχ ἧττον Οὐενετοῖσιν εὐσεβῶς ἔχων
Λοιποῖς ἢ ἄλλοις εὐρυχώρου ποιμνίου,
Ζητεῖ ἐπήρατόν τι δρᾶν πολιτείῃ,
Δηρὸν περισπασθείσῃ ἔργοις δηΐοις,
Οὐ προὐργιαίτερον δὲ αὐτῶν χρημάτων,
Ἄτ' εὐθυμοῦντα δηρῶντας πρὸς μάχην.
Μυχῷ δὲ αὐτῷ, οὗ ἀνάκτορος πόλις,
Τῷ Γαλλικῷ τε κλημένῳ σφῶν ἀρχαίοις,
Νησὶς καθίδρυταί τις ἠκίστη ἄλλων,
Ἐφ' ᾗ νεώς τις ἐν μοναῖς Ναζηραίων
Ἀφωσίωτο ἐν πνεύματ' ἐνθέως θείῳ,
Ἐν δαψιλείᾳ ἀφνεῶν ἐξ εἰσόδων·
Καὶ ἀρχιθύτης εὔλογόν τι ᾠήθη·
Μονὰς ἱστάσαντας οἷς Ναζηραίοις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μὴ κωλύειν πόλεσιν ἀμφαλητεύειν,
Μεταμφιεννύουσι πρώτιστα σχῆμα
Ναζηραϊκὸν εἰς ἁπλοῦν ἀρητήρων.
Τὸ δ' αὐτὸ δόγμα καὶ μονῶν ἄλλων πέρι,
Ἐγκοσμίων μᾶλλόν τι ἀσκουσῶν βίον,
Ἢ θείαν εἰς ἄσκησιν ἠρετησάντων.
Νομισμάτων δ' ἔρανος ἄφθονος μάλα,
Ἐκ μυριάδων ἀμφ' ἑκατὸν χρυσίων
Ὡσεί τε ἡμισεῦον αὐτῶν τι πλέον,
Καὶ εἰρύοντο ἀκριβῶς νενημένα,
Μόχθων ἐμῶν ἐς λύσιν ἀμφεκχυτέα.
Ὅτ' οὖν τάδ' εὐφημεῖτο ἐν πολιτείᾳ,
Βαδούαρος σκοπεῖτο σὺν ῥέκτῃ Βώρῳ,
Μὴ ἄρκιον Λεύκοφρυν ἐγκόπτειν Βύζην,
Μήτοι χαλᾷν πτέρυγας ἐκτὸς Βοσπόρου·
Λῆμνον γὰρ ἐσκέφθησαν ἀντιστοιχῆσαι
Πορθμοῦ ἔναντι ὡς ἑκάτερθεν τοῦδε
Νηῶν στίφη ἔχοιεν, ᾧδε χειμάζειν,
Διέξοδοί τ' ἐνθένδεν ἥκισται πάντῃ,
Ἢ εὐαπείργαστοί τε τῶν ὑπηργμένων.
Λεύκοφρυν οὖν ἐχυρὰν ἢ πρὶν δεικνῦντες,
Βουλῇ πάσῃ καθίστων αὐτοῦ προστάτην
Ἱρώνυμον δεύτατον ἐκ Λαυρηδάνων,
Ὡς Κονταρῆνον ὕπατον Ἰωάννην,
Καὶ κρατύνοντο παντοδαποῖς ὁπλίταις
Ὡσεὶ ἑκατὸν ἑπτάκις τῶν εὐζώνων,
Ἱππῆσι δ' εὐθαρσέσσιν ὀκτάκις δέκα·
Ὡς ἁλίῃ ἀλκῇ τε νησὶν ὀκτώ που,
Δυοῖν τε πρὸς ταῖσδε πεντηκοντόρων,
Μακραῖς τριήρεσ' ἕξ τε τῶν ὠκυπτέρων,
Λοιπαῖσι πλοῦν ἥνυον ἀκταῖς ἐς Λήμνου.
Καὶ μαρκίων ἐξάπιν' ἀμβολῆς ἄνευ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τάξεις πυλῶν ἐξάξας, ὅσσους θ' ἱππέων,
Ἐπεκράτει ῥᾴστα κραναοῦ πέδου,
Πολίσματός τε εὐθύωρον προσκρούσας·
Κἂν εὐστάτει ἀντίσχον εἰσβολῇ πρώτῃ,
Δεδείκελοι δ' εἴργοντο ἐκτὸς φρουρίου.
Ἀλλ' ὅς γε μαχεῶνας, ὡς ἔθος, πήξας
Πέριξ ἑκάτερθέν τε τοῦδ' ἐχυροῦ περ,
Ἐπ' ἦμας' ἑπτὰ ἠρέμει ἀκμὴν πάμπαν.
Μεθ' ἅττα βομβῶν κἀκπυρεκβόλων αἴθος
Αἴθρην μέλαινεν, ἄστυ δ' ἤτυζον σφαῖραι
Βολαῖς διηνεκαῖσιν ἀτλήτου λώβης.
Μεσημβρίαζε δ' ἦμαρ ἔνατον πέλον,
Καὶ Μεχμέτης βολαῖος ἄρτι ῥηξίφρων,
Σημεῖον πέπηγεν ἱστοῦ ἀργύφου
Ὕπερθε τειχῶν, προσκαλούμενος ῥήτρην.
Σκεφθεὶς ἐπείπερ τερσίην ὑδρευμάτων,
Προὔδωτο τ' ἄστυ, κἂν τε τῶν δυσπορθήτων,
Εἴγ' ὠχύρωτο τείχεϊ τριχθαδίῳ,
Πυρεκβόλοις κεκασθὲν ἑπτάκις δέκα.
Ἤτει δ' ἐᾶσθαι καὐτὸν ἠδὲ φατρίην,
Σεσωσμένους προσοῦσι τιμαλφεστέροις,
Πυρεκβολίσκοις, σπαρτίοις ἐνημένοις,
Καὶ ζωνύοντας ἄορ ἀμφὶ ὀσφύην,
Ἐξιέναι τοιῶσδε κῴχεσθαι Ἀήμνου.
Καὶ μαρκίων μὲν συγκεχώρηκε τρίτον,
Ἀλλ' ἐξιοῦσιν ἔνθεν ἐξεῖναι φέρειν
Οὐ πάντ' ἔπιπλα, ἀλλ' ἕκαστος ὅ σθένει.
Δύσχρηστα δ' ἐς τρεῖς ἐμβιβασθέντα νῆας,
Αὐταὶ βρίθοντο, καὶ θλίβοντ' ἐπεμβάται,
Ἐπεὶ ὑπερφέροντο ῥυθμὸν χιλίων·
Κούκ οἶδα ποῦ γῆς προσπέφευγον ἠπείρου.
Βαδούαρος δ' ἔγηθε νήσου προσκτήσει,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἳ ἀντανάξας αὖ πάλιν πολιτείᾳ·
Καὶ προστάτας καθίστα βουλῇ συγκλήτου,
Ἐκ Κονταρηνῶν Πέτρον ἀνθυπατεύειν,
Καὶ δευτερεύειν τοῦδε Φαῦστον ἐκ Ῥίπης.
Ἐπεὶ δ' ἔμελλε Μωκενῖκος ἐκπλεῦσαι,
Μετασταλεὶς πρώτιστα τοὐντεῦθεν Βῶρον,
Τὴν πρὸς Ζάκυνθον κέκληται μεταστείχειν,
Καινὴ ὅποι ξύμφρασις εἴοι πρακτέων.
Ὅς δ' αὖ πελαστὴς δίζεται Βαδουάρῳ
Πορθμίας ὡς τρεῖς ἀσφαλῶς περαιώσας,
Ὅποι στόλαρχος μὶν κέκληκε βουλαῖον·
Ὁ δ' αὖ χορήγει ἐκ τριῶν μίαν μόνην,
Οὗτος δὲ δυσχέραινε κἀξώρμιζ' ἄφαρ.
Ἵκων δὲ γ' ἐς Κυθήραν ἰχνεύει δύο,
Αἳ τῇδ' ἐσώρμουν, καὶ ἔπεσθαι ἠξίου,
Αὐτοὶ δέ γ' ἐσκήπτοντο μὴ θεσμοῦ ἄνευ·
Οὗτος δ' ἄτρεστος οἷα ἥτιζ' εὐώρους.
Πρώραν τρέπει δὲ πρὸς βορήϊον μοῖραν,
Καὶ μεμψιμοίρει τοῖσδε καὶ ὑφ' ἓν τύχῃ,
Μεταιφνίους τροπὰς μὲν εὐτυχηκόσιν,
Οἷόν τι παῖγμα ἐν βίῳ πλαστουργούσης·
Μεσσηνίης γὰρ ἐκτὸς ἀμφὶ Σφαγίην,
Ἥγ' Ἰταλοῖσι Σαπιένκια κλύει,
Μαυρουσίων σὺν δύο συγκαλινδοῦντο
Παραπλέοντας συγκακουργοῦσαι νῆες,
Καιρὸν δὲ Βῶρος ἔσχε ναυμαχῆσαί τε
Κἂν γηΐνοις μόνοισιν ἐξησκημένος·
Ἀλλ' ἐξ ἑτοίμου νῦν τ' ἀμύντωρ γενναῖος,
Ἐδηρία κράτιστα συμπεπαικόσαις·
Καὶ δὴ μεθ' ἕκτην ὥραν εὐσθενεστέρης
Ἐπικράτει ῥᾴστα ἐκκεραυνώσας.
Δύω δὲ ἄλλων ἐκ Μεθώνης σπασθεῖσαι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπεισπέπαικον ῥίμφα τῇ κρατησάσῃ,
Καὶ ἔκκοπον κράδαινον εἰσέτ' ἐντόνως,
Αἷς καὶ τυχηρὸν συμπέπραχ' ἐμπιπτούσαις,
Βώρῳ ἕλεθρον συμποδηγοῦν ἐκ βίας·
Πυρεκβόλων εἷς γάρ κεν εἷς τι νηός που
Διασπαράττων, εἰσαράσσει σκινδαλμούς,
Ἀνδρὸς κατ' ὦπα ὡς λάβρως πεπηγότας.
Ὑπὸ στέγην δ' ἕφερπεν ἀλθήσων ἄκος,
Καὶ ὑπτίαζεν ἐν γούνασσιν ἀλόχου,
Ὃν δέκτο ἀγνώσουσα ἦν πόσις Βῶρος,
Σκινδαλμάτων πήξιος ἠλλοιωμένος.
Ἀλλ' εὖτε ἠσχολοῦντο εἰς ἄρσιν κάρφων,
Καὶ θυρὶς ἠνέωκτο ἐς μείζω στίλβην,
Πυρεκβολίσκον ἧπτον ἐξ ἐναντίας,
Τιτρώσκεται δ' οἰκτιστα ἦτρον καιρίως,
Ἄεξε δὲ οἱ ὄλεθρος, κἀλόχῳ γόος.
Μέντοι γε ναῦς οὔριζε λῃστρικῶν νόσφιν,
Πρὸς Κόρκυράν τ' ἔτεινεν ἐς σκευὴν νέαν,
Οὗ πρότριτα διῆκε, καὶ μετ' οὐ πλεῖστον
Τρῶμ' αὐτὸ Βώρῳ καρκινωθὲν ἄχρ' ὄσχης,
Τὰς πρὸς τρίβον Πλούτωνος ἀμπετᾷ πύλας.
Καὶ ἐξέπνει λωβητὸς ἐκ σμικρᾶς πάλης·
Ἄρης ὃν ἐνδέδειχε δεινὸν πρὸς μάχας
Τὰς πωποτοῦν φυείσας Εὐρώπῃ πάσῃ,
Καὶ Ἑλλὰς ᾧδ' ὕστατα ἔγνω τίς Βῶρος.
Τὰ νῦν δὲ Νηρεύς, ἀνδρὶ βασκαίνων ἴσως
Ἐξ αἰτίου βαιοῦ περ, ὅνδ' ἀναιρεῖται,
Ὡς μὴ Ἄρηος παῖδας ἐν πάντῳ ἴδοι
Τάχ' ἂν ἀριστεύοντας, ἀλλ' οὐ Νηρέως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ ΙΗ'.

Ἀλλ' ἦμος ἔνθεν δῦνεν ἡ Βώρου μήνη,
Τῆμός τε Μωκενῖκος ἔνθεν ἀντέλλει,
Φοῖβός τις οἷα προσδοκηθεὶς πάντῃ που·
Ὅτου Κεφαλληνία ἦν τροπὴ πρώτη,
Καὶ ἐγκαλεῖται ἄνδρας, ἐξ ἐγκλημάτων
Φυξήλιας, καὶ ἦρεν ἀμφὶ χιλίους,
Ἐξ ὧν τριήρων σκευὴ ἑπτὰ πρὸς δέκα,
Ὧν ὁπλίτας καθίστα εὐπρεπεστέρους,
Καὶ ἦγετο πρόπαντας ἐς νῆσον Πάρον,
Βαδουάρῳ οὗ δόγμα συγκρατεῖν στόλον,
Ὀχούμενος δεκάδι νηῶν ἐκ κοίλων·
Ὃς δέκτο πομπῇ τόνδε βαιὸν προσμείνας,
Σεβασμιάζων ἄνδρα αἰδοῦς ὀφλήσει.
Συντάξας οὖν ἐνθάδε σύμπαντα στόλον,
Τριήρεων ἤρηται ἐκ θοωτέρων
Δυώδεκα, σκευάσας ὥσιν πρὸς πᾶσαν,
Αὐτός τε διφρωχεῖτο ἢ στρατηγίδι·
Τέως πορείας εἶχετο πρὸς Κυθήραν,
Συνήντα δ' ἐς ναῦν μέτριον Μαυρουσίαν,
Καὶ σκέπτεται αὔτανδρον αἴνυσθαι βίᾳ·
Αὐτοὶ δέ γε προὔφθασαν ὁλκάδ' ἐμβάντες,
Καὶ Ναυπλίῃ πρόσφευγον ἢ Ἐπιδαύρῳ·
Φαιδρὸς δ' ἑλὼν τοιάνδε ἵκετο πρός με,
Ἄγων τόσα τρίηρα, ὡς τριήρεις τε.
Ἐγὼ δ' ἄφιξιν ἀνδρὸς ἡγάσθην μάλα,
Ἐξ ἐλπίδος μὲν μειζόνων τοῦδ' ἐργμάτων·
Ὑμῖν δὲ πλείστας χάριτας ὀφλισκάνω
Ὡσεὶ ἐνοχληθεῖσιν εἰς ὑπουργίην,
Καὶ οἷα συμπράξασι πομπῇ τοσσῇδε,
Ὡς ἐνδιδοῖ καιρὸς μέν, ἀλλ' οὐχ' ὡς ἔδει·
Ἐν ᾧ δὲ θυμέλαι τε καὶ ἐξαρτύσεις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πανηγυρισμῶν ἠκροᾶτο, καὶ λόγος
Ἀγγέλλεται Βύζηθεν, ὡς εἶχον τάχους
Ἐξαρτύσαντας ἐκφέρειν δοκεῖν στόλον,
Ὕποπτον ἐς Λεύκοφρυν ἐγκατασκῆψαι.
Καὶ ἦν θαητὸν τοῖς ἔαρος ἀκμῶσιν
Ἐκπλεῖν ἐθάδας, κἄν τε νύττον σπουδῇ τι,
Νῦν πρὸ κριοῦ μὲν ἀντολῶν καὶ δυσχείμου,
Ἐπικλόπως ἐκπλεῦσαι, οὓς δ' εὖτ' ἠτρέμουν,
Ἥμός τε κῆδος ἦττον εἰς ἀντιφράξεις.
Διττὸν δὲ εἰς ἔκπλευσιν οἶμαι τοὐπεῖγον,
Ἢ ὅττι ἠτόνησαν ἁλίων ἔργων,
Καὶ ὡς ἀπηυδήκασι πρὸς ναυμαχίην,
Πειρᾶν δ' ἀρήγειν, ὡς ἑνὸς θλίβουσί με,
Ἢ καὶ ὕποπτος αὖθις οἷς πολιτείη,
Μὴ ξυμμάχους ἴσχοιεν ἐξ ἐρισθενῶν,
Τῶν γειτνιόντων μᾶλλον εὑρεῖ σφῶν κράτει.
Ἀλέξιος γὰρ βασιλεὺς Μοσκωβίης,
Ἐπὰν Γέταισι περθάκει ἀλεξίσας,
Καὶ ἐγκρατὴς δέδεικτο γειτνιαζόντων,
Ἐπεκράτει ῥᾴστα ἄχρ' Ἴστρου ὄχθων,
Δάκων ἑκατέρων τε Ῥωξολανῶν τε.
Ἀρθέντι γοῦν μέγιστον ἐς τουτὶ κράτους,
Ὡς συγκρίνεσθαι ταῖς πατοῦν μοναρχίαις,
Συγχαρμάτων τέκμωρα καὶ πολιτείη
Πέπομφεν εἰς ἔνδειξιν ἡδονῆς ἄκρης.
Πρεσβεὺς δὲ τοῖσιν εἷς τις ἐξ ἀρητήρων,
Αὐδῆς δὲ Μόσκου εὖ μάλ' ἐξησκημένος,
Δώροισιν, ὡς ἤκουστο, ἐξ ὑφασμάτων
Χρυσῶν ἐς αἴσθος βασιλεῦσ' ἀνταξίων,
Οἷόν τι Ῥωμαῖοί τε πρὸς Μακηδόνα,
Ἐπὰν δέδεκτο Περσὶς ἐξ ἐπανόδου,
Ἰνδῶν θριαμβεύσαντα νήριτα κράτη,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ πρέσβεων δέδειχαν οἷον σφῶν εὔνουν.
Ἀλλ' ὃς θυμήρης, ἢ Μακηδὼν Ῥωμαίοις,
Πρέσβεις πολιτείαζεν ἐξ ἀμοιβαίου
Διττοὺς πέπομφε βασιληΐῳ τέλει,
Ἰδηράτῳ πομπῇ εὐπρεπεστέρων.
Ἀλλ' ἦνυον πορείαν οὐ πρὸς δυσμάζδε,
Βορηΐου δ' εἴχοντο Οὐενεδίκον δε
Πρὸς κόλπον εὐρύν, οὗ πόλεις σφῶν ναίονται·
Σὺν φατρίᾳ δ' ἐμβάσιν ἐξ ἐπὶ σκάφη,
Καὶ χερρόνησον Κιμβρικὴν ἀμειφθεῖσιν,
Ἐς ὠκεανὸν συστροφὴ Βριτανικόν,
Ὃν αὖθις ἠμείβοντο τοῦ Ἰσπανικοῦ,
Ταχὺ διώδευόν τε Ἡρακλῆ στήλας.
Ταχὺ δ' ἵκανον ἐς Λίβουρνον Τυρρηνῶν,
Ἄναξ ὅποι ὥριζε πλοῦν περατοῦσθαι.
Καὶ πρύτανις πόλησς, εἰδὼς τοιάδε,
Μέγαν πρὸς ἡγητῆρα ἐν Φλωρεντίῃ
Διετράνου, ὡς ὦφλε καὶ πῶς δεκτέοι.
Ἐντέλλεται δ' ὕπειξιν ἐνδείξασθαί πως,
Εὔνουν τε παρστήσασθαι εἰς μέδοντά τε,
Φιλοφρονῆσαι τούς δε τ' αὐτοὺς εὐκόσμως.
Αὐτὸς δ' ἀνῆπτε πυρσὸν ἐκ πυρεκβόλων,
Καὶ εἴτι τερπνὸν ἀνδράσι ξενιστέοις.
Ἐλθὼν δ' ἔτ' εἰς ἔντευξιν οἵους πρὸς πρέσβεις,
Τῇ ὑστεραίᾳ δίζεται ἀμοιβαίους.
Καὶτοὶ σάφιζον δόγμα ἐξ αἰσυμνήτου,
Μὴ ταῦτα πλὴν ἀρχοῖσιν αὐτοῖς πρωτίστοις.
Ἀλλ' εὐφράνως λυθέντες ἦρὰν τοὐντεῦθεν,
Ἄλς δ' οὐκ ἔδεκτο τούςδε συμπευσουμένους,
Δι' Οὐϊλαμβρῶν δ' ἀλλ' ὕπερθε Σαβίνων,
Σὺν φατρίῃ ἔστειχον Ἠριδανόν δε,
Καὶ τόνδε πορθμεύσαντες, ἦν ὁδοῦ τέρμα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἢ Γαλλικοῦ μυχοῖο Κλωδίων πόλις·
Ὅπου πολιτείη τε δαψιλευθεῖσα,
Τρεῖς δὶς δέκα φραδῆας ἣν πεπομφυῖα,
Πασῶν Γερουσίης μὲν ἐκλελεγμένους,
Εὐκοσμίῃ πάσῃ τε πορφυροχλαίνῳ,
Διττοὺς ἑκάστῳ προσνεμεῖσα προσπόλους,
Πολυτελείᾳ ἀμφίων κεκασμένους.
Οὗ κυμβίων ἔπειξις ἠμιμυρίων,
Ἐπιπτύγμασι σηρικῶν καταφράκτων,
Ὡς λιμέν' εὑρὺν συνδοκεῖν Μεθαμούκου
Κατηστερεῖσθαι μαρμαρυγῶν ἐκ ῥάμφων
Σιδηρέων, σχήματι οὐρῶν δελφίνων,
Ὡς δόξε τεχνουργοῖσιν ἀρχῇ σκευάσθαι.
Δύω πλέον δ' ἔστιλβον ἄλλων κυμβίων,
Οἷα πλάνητες φαιδροὶ ἄλλων ἀστέρων,
Ἐπεὶ ἐπιπτύγμασσιν ἦν κεκασμένα
Ἐκ χρυσοπλάστου πέπλου, ἠδὲ κρηδέμνων
Ἐξ ἁλιπορφύρων τε ἐξυμφασμάτων,
Καὶ ἀμφὶ πέπλου ἐκτεταμένου ὕπερ,
Ὃ ἐξαπαντᾷ προσκαθημένου ὄψις,
Διαυγέα κρύσταλλα, εἰσόπτρων δίκην,
Ἥρμοστο ἐς θέαμα συμπροσπιπτόντων,
Δυσχρηστίης ἄνευθε φιλθεαμόνων,
Πρόκριτα προκρίτοισιν ὡς προηγμένα.
Τοιάδε πομπὴ δεξιώσιος πρώτης
Ἐκτὸς πόληος, ἑστίας τε ἀρχείου,
Κἂν πάντα μοι κάλαμος οὐ σθένει ἄκρως
Ἐξακριβῶσαι, ἀκοῇ ἀφιγμένων.
Λοιπῶν δ' ἐῶ πάρεργα, ἠκίστων ὄντων,
Ὡς τυμπάνων σύγκρουσιν, ἤχους σαλπίγκων,
Πυρεκβόλων τ' ἄναψιν ἑκβροντηκότων,
Φρουρῶν ἁπάντων ἐξ ἑκάτερθεν μυχοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐντὸς δέ γ' ἠντύνοντο ἔργα μειζόνων
Ἐνδείξεων, κράτιστα κἄξια μνήμης,
Τὰ πωποτοῦν δειχθέντα κοιράνοις ἄλλοις·
Ὡς δωμάτων κόσμησις ἠρανόπρεπος
Τῶν ὑψικόμπων ἐκδομήσεων φαιδρῶν,
Ὧν περ πόλις μὲν κάζεται ὑπὲρ πάσας.
Θῶκοι δὲ διτταὶ ἐν μελάθρῳ ἑστίας
Δαιδαλέως ἵδρυντο ἐκ διαχρύσων,
Ὧν εἷς μὲν ἦττων, θάτερος μέντοι μείζων,
Ὡς πρέσβεων εἷς δευτέρευε θατέρου.
Τάπησι δ' αὖ μέλαθραν ἐστρώννυθ' ἅπαν,
Ἀθέσφατόν περ σηρικῷ ὑφασθεῖσιν,
Ὡς θάλαμοί τε κἄν τύπῳ πολυπλόκῳ,
Ἀποβλέπειν ἔχοντι τοῖς κατ' ἀξίην.
Οἱ φατρίης γὰρ αἴτιοι δέκ' ἐξάκις
Ἐν ἀμφίοισιν ἐκ πολυτελκίης,
Ἄθει γεραρῷ κοσμίων ἐωΐων,
Πάρεξ τε πλήθους, ἀτμένων ὑπουργούντων,
Ὧν εἷς δύω ἐφώρα, πάντες δ' ἐς δύω·
Ὧν πορφυραῖ τήβενναι, ἠδ' ἀλουργίδες
Ἐκ μαργάρων στρώννυντο ἠδ' ἀδαμάντων,
Τοῦ μείζονος μάλιστα, ὃν θρόος φέρει
Αὐτὴν ἄνακτος ἐνδόσει ἀμπειχέσθαι,
Ὄψεις διόπταις ἀμβλύνουσαν σπινθῆρσι.
Πρὸς τοῖσδ' ἓν ἐκπέπληξε θνητὴν πόλιν,
Καὶ σπέρχ' ἄγασθαι πλημμύραν ὅσην ὄλβων,
Ἀπεικάσαι τε παγκρατῆ δυναστείην·
Ἐπὰν γὰρ οἶκοι συγκαθῆστον ἔξαλλοι,
Διττοὶ γερουσίηθεν, ἀλλ' ἐπιτρόπων
Πομπῆος αὐτοῦ δευτερευόντων πρώτου,
Ἦκον τέκμαρσιν ἅπλετον συγχαρμάτων,
Ὡς ἐκ πολιτείης τε, τοῦ τ' ἀρχηγέτου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀφίξεως σφῶν καὶ φάους εὐημέρου,
Δεικνῦντες εὖνοι τοῖς δ', ἄνακτί τ' εὐφήμως.
Αὐτοὶ δέ τ' ἠμείβοντο μειλικτηρίοις,
Ὡς σφῶν ἄναξ κράτιστος εὔχεται πᾶσιν,
Ἀρχηγέτῃ φαιδρῷ τε, καὶ πολιτείῃ
Βίον μάκαιρον καὶ κράτους ἐπαυξήσεις,
Κοινῇ κατ' ἐχθρῶν πώεος χριστωνύμου.
Τάδ' ἐγγυῶντο πᾶσιν ἐν Γερουσίῃ,
Εὖτ' ἐξὸν ἄθρους ἀσπάσασθαι αἰδίως,
Καὶ ἰδίᾳ τε ὥσπερ ἐξ αἰσυμνήτου.
Ἐς κοινὸν Ἀθήναιον οὖν συγκληθέντες,
Ὃν σφίσιν ἦγον ἐς σέβασμ' ἀρητῆρα,
Ἰρατικῇ ἔκαζον αἰσθήσει πάνυ,
Καὶ εἵματος πρώτου τε καλλιστευούσῃ,
Σταυροῦ τύπον φέροντα πήχεος μέτρου,
Χρυσηλάτου τε κἄκ λίθων ἀδαμάντων,
Τῶν δὴ μεγίστων, ὧν ποτ' ἄν τις εἰδείη
Αὐλαῖς διατρίψας περ ἄκρων κοιράνων.
Δέραιον οἷδ' ἀνῆρτον ἐκ λαιᾶς δέρης,
Μάλης ἔνερθεν δεξιᾶς παρεμπίπτον,
Μικροῦ κατήντα μέχρι ὡς ἐγκαρσίως,
Ἐκ μαργάρων ἁρμοσθὲν ἐξ ἑωΐων,
Ὄγκου ἀτὰρ τοσοῦδε, ὡς ὑπερπαίειν
Ἡρακλεωτικῶν μὲν ὄγκον καρύων,
Ὡς εἴ τιν' ἐξεύροιντο πρός τι καὶ μείζω,
Ποιῷ ποσῷ δ' ἄλληλα ἐξισουμένων,
Οὔτ' εἶδε τίς πω, οὔτε ἔκλυ εἰδόντος·
Τοῖον προβαίνειν ἐν προπομπῇ ἦν θέμις,
Ἄρχειν σεβασμίων γὰρ οἷς κρατοῦν κῦρος.
Ἐξῆς δὲ ὠπάζοντο σεμνοδεστέρους
Ἐπιτρόπων τέσσαρας, ἔξ τε συμβούλους,
Καὶ ἀμφ' ἑκατὸν συλλογῆς Γερουσίης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πάντες δ' ἁλουργίδεσσιν ἡμφιεσμένοι,
Οἷς δεξιὰν διδοῦσι κἀνὰ φατρίης.
Γραικοῖσι ταὐτὰ οἱ παρέλκοντες ῥυθμοῦ
Τοῖσι προαιρεθεῖσιν ἀφνεεστέροις
Ἐς πρέσβεων ἄντησιν ἐκ ῥητοῦ λόγου,
Ἔωργον ὡς πρόβημα ναοῖς ἐνθέοις,
Τιμῇ ἁπάσῃ καὶ προπομπῇ εὐκόσμῳ
Βαιὸν δεούσῃ τῶν μόνῳ ἀρχηγέτῃ
Εἰθισμένων γίνεσθαι ἥμασ' ἐνσήμοις.
Καὶ ταῦτα χαρίεντα πρέσβεσ' ἐξέβη,
Ὡς ἀγορή τ' ἔδοξε τῶν θαυμασίων,
Ἀρχηίου μάλιστα δημιουργίαι,
Τῶν πανταχῇ γαίης μὲν εὐφημουμένων.
Ἀλλ' εἰσιόντας καὶ Ἀθήναιον φαιδρόν,
Κερχνωμάτων γλαφυρὸν ἐξ ἐπιχρύσων,
Ἥ τ' ἀξιοπρέπεια τοῦ τ' ἀρχηγέτου
Λιδοιΐον τε, ἐμφρόνων γηραλέων
Ἀμφιζανόντων καλλιφεγγέος θώκου,
Ἄλλους ἔωργε ἐκπλαγέντας ἐξ ἄλλων.
Ἀρχηγέτης ἀτάρτοι βαθμίδος πρώτης
Συγκαβδὰς ὕψους, ἡσπάσατ' ἐρασμίως,
Χεῖράς τ' ἔτεινε κἀντελάζυτ' ἀγχόθι,
Καὶ ἷζεν ἄμφω ἐξ ἑκάτερθεν θώκου.
Λόγων δὲ τελεσθέντων τῇδ' ἀποκρύφων,
Χαίρειν ἔφραζον τοῖσιν, οἷκαδ' ἱκέσθαι
Αὐτῇ προπομπῇ καὶ τιμῇ τε εὐτάκτῳ.
Ὅποι προμηθεύοντο ἄχρι θ' ἡκίστων,
Εἰς ἀβρότητα βρωμάτων πανδαισίης·
Καὐτοῖς προϊσχεθεῖσιν ἀλλοίῳ χρᾶσθαι
Ποιῷ ἐδωδῶν ἥμασ' ἐξόχως τοῖσδε
Τοῖσι προηγμένοισι σωτῆρος πάθους,
Εἰσφερτὰ πεντήκοντα χρυσῶν κερμάτων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁσημέραι κάτθεντο ὀψωνῶν ὕπερ.
Ἔξ δ' αὖ Γερουσίηθεν εἰς θεραπείην,
Καπιτρόπων δύω τε προσφωνεῖν ἦμαρ
Εὐπραξίης κατ' ἦμαρ, ἀλλ' ἐναλλάγδην,
Καὶ ἀξιώχρεώ τε τῶνδ' ἐπεσκέφθη.
Αὐτοὶ δ' ἔτ' ὡς δόξωσι πολλοῦ ποιεῖσθαι
Θελκτήρι' αὐτά, τοῖσι καὶ αἰσυμνήτῃ
Νάκη μυωτὰ ποντικῶν μυῶν μέντοι,
Ζεβηλίνων τάδ' αὐτὸ τοῖς Ἰταλοῖσιν,
Ἐς εἴκοσ' ἐν τέσσαρσι τηβέννων τεύξιν,
Δύω τ' ὀρφνήεντα ἐξ ἀλωπέκων,
Κεκριμμένων πάντοσθι τῶν ἀσταθμήτων.
Ἀλλ' ὃ κράτιστον, εἰκόνα χριστεικέλου
Μορφῆς ἐν ἀδάμασι καὶ χρυσοῦ πήξει,
Λίθοισί τ' ἄλλαις αἰολόχρο' ἀμφίων
Παρεμφερούσαις, καὶ τάδ' ὡς φέρει λόγος,
Γέραιρον ἐν δώροισι χαριστηρίαις
Αὐτῇ πολιτείῃ τε καὶ ἀρχιγέτῃ.
Συνήλυσις δ' ἔγεντο ἴσα πλειστάκις,
Ἐν ᾗ διευκρινοῦντο ἔργ' ἀπορρήτων,
Μεθ' ἅττ' ἀπηλλάγοντο νόστιμοι πάτρῃ.
Γεωργίου δὲ μάρτυρος νεὼν μέγαν,
Νωΐτεροι ὅποι περ οἷς ὁμοίως
Ἥρτυον ἀνδράσ' εἰς δέημα δεκτέοις,
Τὰ πλεῖστα δ' ἦ εἴχοντο καὶ νῦν ἱκτῆρες
Σεπτοῖς ἐναγίσμασι καθηγνισμένοι.
Ἀγχωρέουσιν ἔνθεν, αὖτοι ναυάται,
Ἀλλ' ἱππόται πορείας ἦρχον ἀλλοίας·
Τούτοιν ἐγῷμαι θάτερον μή, ἀλλ' ἄμφω
Ἔνυττον ἐς πρόωρον ἔκπλευσιν τήνδε.
Ἀλλ' οὐκ ἔλαθον ἐντρέχειαν Λαζάρου,
Κἂν νῦν περισπούδαστα λάθρι' αὖ πάλιν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦν γὰρ θεητὴ ὠκύτης ἀντηχοῦντος,
Ἐπεὶ θοωτέρα τε ἠχὼ πατάγων.
Ἐκπλεύσεως γὰρ τέρμα ὤπτευον Χίον,
Ὅποι ἐνοῦν σκόπευον ἐκ Μαυρουσίων
Νῆας δέκα πρὸς πέντε, εἶλην Ἀλγήρης
Μίμνειν πρόμον τε σὺν βέεσι τοσοῖσδε,
Βυζαντίηθεν αὖ διασκευασθεῖσι.
Τοιαῦτα μερμέριζον ἔρδειν ὑφάλως,
Καὶ προφθάσαι ὤκιστα ἀντιπαρτάξεις.
Ἀλλ' οἷα δειλοί, Λεύκοφρυν παριδόντες,
Ἐς Λέσβον ἠρώαζον, ὡς ἔνθεν Χίῳ·
Οὗ ἠσθάνοντο Λαζάρου μεταίφνιον
Ἔμπτωσιν, ἰχνεύοντος Ἰκάρου πόντον.
Ὅς γάρ κεν αἰσθεὶς καινὰ ἐσπουδασθέντα,
Κἂν εὖρος ἔνθεν, ἀντέπραττεν ἐκπλεύσεις,
Ἱστοὺς μὲν ἀγχαλάσας, εὐήρη σκάφη
Δέδειχε θαρσῆ, καὶ κατ' εὖρου ἀντωποῦ.
Ἐς Δῆλον οὖν κατέπτη, ἐνθένδεν δ' αἴρει
Λοιπὰς τριήρεις, ἓξ τε πεντηκοντόρων,
Αἵ τῇδ' ἔμιμνον τοῦδ' ἄφιξιν ἀθρόαν.
Νηῶν δὲ κοίλων ἐκπεπόμφει Βοσπόρῳ
Δυωδεκάδα, Βέμβῳ αὐτῷ ναυάρχῃ.
Καὶ Κουϊρῖνον βούλεται οἱ ἕσπεσθαι
Ἄλλαις τοσαύταις, οὗ ἂν αὐτὸς ἱκάνει.
Καὶ Λέσβον ἐσπέπλευκε, καὐτοὶ τοὐντεῦθεν
Κωπηλάτουν πρὸς Χίον, αὐτὸς δὲ οὓς σεύει,
Καὶ ἐς Ῥόδον φυγάδας ἴχνευ' οὐκ ἔτι.
Αὐτοῦ δ' ἔμιμνε καὶ τὸ πᾶν καραδόκει,
Ἐπίσκοπός τις οἷα τῶν ἔνθ' ἠδ' ἔνθα.
Καὶ δὴ ἐφίστον νῆες ὀκτὼ φορτίδων,
Αἰγυπτίηθεν, εὐθὺ τεινουσαι Βύζης,
Ὧν πέντ' ἐχειρώσατο, καὶ πρήθει μίαν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δύω δ' ἐσαράσσουσι πρὸς γῆν θρυσθεῖσαι·
Καὐτοῦ ῥυέντος ἤματος πρὸς τὴν δείλην,
Ναῦς Γαλλικὴ πέπαικε Λαζάρου πάγῃ,
Ἥ γ' εἰς ἄμυναν φορτίδων παρωμάρτει.
Μεθ' ὑστεραίαν συμπέπαικεν ἄλλη τε·
Σεσαγμέναι πᾶσαι μὲν ἐμβριθοῦς γόμου,
Αἴγυπτος ὧν εἴωθεν ἀκραιφνῆ φέρειν,
Καὶ ὧν πόλιν Βύζαντος ἄρδειν ζαχρείων.
Τοιοῖσδε ἐξοιστροῦντο δυσμενεῖς πάντῃ,
Καὶ Κῶν ὀπισθόρμητος ἤρασσε στόλος,
Ὡς ἔνθεν, ἢν χρή, ἐγκατασκήψῃ Χίῳ.
Σάμου δὲ ὕπερθεν Λάζαρος κατεσκόπει,
Ἄργεννον οὖπερ ἄκρον ἀκταῖς Φρυγίης,
Καὶ ἠντίαζε πρὸς βίαν ἐρετμώσας·
Ἐπὰν δὲ ἡ ἄντωσις ἦν ἐγγυτέρα,
Αὐτοὶ τρέποντο καὶ ἀνήνηνται πάλιν.
Σεύειν δὲ οὓς πρὸς εὖρον ἐκτεταμένον,
Ἕλκειν τε μὴ οἷός τε πεντηκοντόρους,
Χαίρειν ἐᾷ νοστοῦντας, ἧπερ ἐξῆλθον,
Καλλιμένιζ' ἔκηλος ὅρμον εἰς Σάμου.
Μέντοι γε Χίος προὐκάλλει παρασκῆψαι,
Ἕνωσιν ἀγγελθεῖσαν ὅρρ' ἐρυκάσῃ.
Λευκὸν δ' ἐς ἄκρον ἠγκυρώσατο στόλον.
Καὶ πρωῒ ὑστεραίας, ἠοῦς φαυσκούσης,
Ἐπεσκοποῦντο νῆες ἐννέα καῖλαι,
Καὶ νόσφι τῶνδε ἔξ τε ἄψ ὁμαρτοῦσαι·
Μαυρουσίων δὲ προσδοκούμεναι αὖται,
Λῖ γ' εὐστόχως τίταινον ὅμμα πρὸς Χίον.
Ἀλλ' ἄτρομος Λάζαρος ἀγκύρας αἴρων,
Πρὸς νῆας ἐξώρμησεν ὁρμῇ εὐτάκτῳ,
Πρόμον προπέμπων ναυμάχων ἔργων πάνυ,
Αὐτώνιον φέριστον, ἵρηκα στόλου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ Βαρβάρων, ἔπαρχον Ἀδρίας κόλπου·
Ὃς ἐκπετάσας αὖ ἀδείμαντος πάλιν,
Μαυρουσίους ἔπαιεν ἐντέχνως μάλα,
Ὡς ἐλκύσῃ ἀγρευτὰς εὐθήρῳ ἄγρᾳ,
Καιρὸν παρενθεὶς Λαζάρου ἐπεμβάσει.
Τοίᾳ δ' ἔγεντο ἐξ ἑκάτερθεν μάχη,
Ὡς χαλεπωτέραν μὲν οὔτις εἰδέ πω.
Πυρεκβόλων γὰρ ἀντιπαιόντων λάβρως
Τρισσὰς ἐφ' ὥρας, νῆες ὡς κεκμηκυῖαι
Πρὸς γαῖαν ἐτρέποντο, φεῦξαι σκεφθεῖσαι.
Κωπηλατεῖν δ' ἦν χρεία πειρατῶν χρήσει,
Λήξαντος οὔρου, ἐκδικεῖν ἀμηχάνους,
Ἀτὰρ στολάρχου δόγμα ἂς εἰσπηδᾶσαι.
Καὶ Λουδόϋκος, οἰκετείας τῶν Βάφων,
Δυσσὶ τριήροιν ἥ τε πεντηκοντόρῳ
Εἰς Ἀδμίραντον νᾶα εἰσπηδᾷ πρῶτος.
Καὶ Ἰάκωβος, οἰκίας Λαυρηδάνων,
Τακτὸς δ' ἔπαρχος οἷα πεντηκοντόρων,
Δυσσὶ τριήροιν χ' οὗτος εἰσπηδᾷ ἄλλην.
Κἂν δὶς κατεβλήθησαν εἰσπηδηκότες,
Πυρεκβόλων βολαῖσι δ' ἱστῶν τμηθέντων,
Ἤγοντο ῥᾷστα ἐς λαφυραγωγίην.
Λαρήνσιός τε, οἰκίας Ῥηνηρίων,
Ἔπαρχος ὕπατος δὲ πεντηκοντόρων,
Εἴσβαλλεν ἄλλην καὶ κρατεῖ λαφυρώσας.
Ἶρηξ στόλου δὲ Βάρβαρος κρατεῖ ἄλλης,
Σὺν Λειονάρδῳ, οἰκετείης τῆς Μαύρων.
Τέως στολάρχῳ συντετήρηται πρώτῃ,
Ὡς ἂν κράτιστος προσπαλαίῃ πρωτίστῳ·
Οὗ συμπεσόντος, ἅμα πεντηκοντόρῳ
Ἀντωνίοιο ἐκ Πριώλων οἰκίας,
Τιτρώσκεται ναύαρχος ὢν πάσης εἴλης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γένος δὲ Βέλγης, ἐξομωμοκὼς σέβας,
Ὀλεθρίως τὸν μηρόν, ἐκπνεύσας λύσσῃ,
Ἐπείπερ ἀλκάζοντας οὐλῆς ἐκπλήκτους
Ὀδὰξ ἔμαρπτε, καὶ δέους κατεφρόνει·
Ἦν γὰρ θρασὺς μὲν πειρατῶν ὧν ἂν ἴσμεν,
Καὶ ὠμότηθ' ὑπερβὰς ἀρχαίων ὅσσους.
Ἓν δ' ἱστορουμένοισι σημειωτέον,
Ἐμφαῖνον οἰώνισμα ἀξιαγάστων.
Τῇ χθιζὰ εἴγ' ἔωθεν ὄρφνης λῃξάσης,
Πέλεια ἧστο ἄργυφος καρχησίῳ
Στρατηγίδος, πτέρυγας ἀμπετῶσ' ἄφαρ,
Γῆθος παρεμφαίνουσα αἰσιωμένων,
Πέλεια ὡς ἔμελλεν, ἀλλ' ἀργυρέη,
Σύλην γενέσθαι αἰσίως στολαρχοῦντι·
Ἑλὼν γὰρ ὑστεραίᾳ αὐτὴν ναυάρχου
Λαμπτῆρα, ὃν κατίσχεν ἐκ νηὸς πρύμνης,
Ἀφεῖλεν οὗτος, κἀφ' ἑὴν τερπνὸς θέτο·
Ἀργύρεος δ' ἦν πᾶς λιθόστροτος τευχθείς,
Κώνου δ' ὕπερθεν ἦν πέλει' ἀργυρέη,
Παρεμφερὴς ἐμψύχῳ ἐνδεδειγμένη,
Ὡς τήνδ' ὑπάρξαι τέκμαρ ἐκβεβηκότων.
Τέως πέπαυται ὀγκύλον Μαυρουσίων,
Μεγαφρονούντων τῆς νεῶς τῇδ' ἐκτήσει.
Γενουάταις γὰρ ἦν στρατηγὶς ἀρτίως,
Λαφυραγώγει δ' ὅς γε κάλλιμον φύσαν,
Λαμπτῆρος αὐτοῦ καὶ βριθῶν πυρεκβόλων·
Ἀπώλολον δ' ὁμαρτῇ αὐτὴν νῆά τε,
Καὶ πειρατάρχην, ὧν ποτ' ἴσχον γεννάδαν.
Ἁλίσκεται γοῦν ὕστατ' ἐσχάτης λώβης
Πρὸς τρισσὶν ἄλλαις, ὧν μία πρῶτα
Τήνου ἔνερθε πρὸς Χίον δυσηγρεύθη.
Τρεῖς δ' αὖ κατεπρήσθησαν, ὡς αἱρουμένων

Μᾶλλον θανεῖν οἴκτιστα ἢ ζῆν ἀθλίως.
Ἄλλη δ' ἀνωγῇ πυρπολεῖται Λαζάρου,
Ἐς γῆν ἐσαράξασα χ' ἁλκτῆς μὴ οὔσης.
Λοιπὴ παρεκσυρεῖσα οὔρου συμπράξει,
Ταῖς ἔξ πέραν ἡνοῦτο ἐκδιδρασκούσαις·
Δίαιμος ἦν δὲ ἐξ ἑκάτερθεν μάχη.
« Πᾶν εἴγ' ἐνεργοῦν, ᾧ ἐνεργεῖ καὶ πάσχει,
» Ἀλλ' ἐς φθορὰν πάσχοντος ἠτονηκότος. »
Ἐπεὶ ἀριθμὸς πάμπολυς δορυκτήτων,
Ὡσεὶ ἑκατὸν τετράκις σακεσπάλων
Κτανθέντες ἔμπης νήριθμοι χ' ὑπὲρ μέτρον
Ὑπερφέροντες πλήθε' ἁλὸς κυμάτων.
Νικατόρων δὲ ἀμφ' ἑκατὸν ὡς ἔπος,
Καὶ τρὶς θ' ἑκατὸν τοὐπίπαν ἠλκωμένων,
Χ' ὡς νητρεκής τε, οὐκ ἀλώβητος στόλος,
Κἂν βαιὰ λώβη εὐανασκεύαστός τε.
Ὅκιστ' ἀτὰρ Λάζαρος ὅνδ' ἀναρτύσας,
Οὐχ' ἡμέρευε διττά, ἤδη τ' ἠγγέλθη
Τὰς ἔξ ἁλυσκασάσας ὡς ἐν φυξίμῳ
Ὑποστραφῆναι Κουσαδάσῳ κλημένῳ,
Δέκα πρὸς αὖ τέσσαρσι νῆες φορτίδων
Αἰγυπτίηθεν· αἵδε τ' ἐκκομισθεῖσαι
Ἐς Σουάκικον, φρουρὰν ἐγκαλυφθεῖσαι,
Τοίως καλεῖν εὔαδε γήρει βαρβάρῳ,
Φρουρὰ τάδ' ἄμφω τοῖσιν ἐξειργασμένα,
Σμυρναϊκοῦ ἔνερθεν εὐρέος κόλπου,
Ἐς συγκάλυψιν ἀσφαλῆα ἐμπόρων.
Λάζαρος οὖν κυροῦτο ἐς Σουάκικον
Στόλου προόπτην τακτὸν ἐκ Βαδουάρων.
Αὐτὸς δέ γ' ἐσκόπευε τὴν Κουσαδάσου,
Καὶ ἠσφάλιζ' αἰψηρὰ προσκεκτημένας,
Αἴρει δέ τ' ὡς ὤκιστα ῥηγμίνων Χίου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἀκρόνυχος ἵπταται πρὸς Σίγαιον,
Ὅπερ Κόρακος ἄκρον οἶδεν ἁπλότης·
Ὅποι στόλου τε δασμὸς ἦν ἐγνωσμένος,
Ὡς ἀνὰ μοῖραν ἐς μίαν ἑκάστηνδε
Φρουραῖν παρεμπέσωσιν ἐς νηῶν ἄρσιν.
Ἀτὰρ τόδ' ἠλλαιοῦτο Λάζαρος μῆδος,
Ἄλλων ἀφορμῶν προσφυεισῶν ἀρτίως·
Στόλαρχος εἴπερ ἐκμοχλεύσας αὖ Ῥόδου,
Τριήρεσ' ὀκτὼ πρὸς δέκ' ἀκμαίαις ἄλλων,
Ἐς Κουσάδασον ἐν δέοντ' ἐπεφθάκει,
Καὶ λῆμμα αἴρει νῆας ἐξ Μαυρουσίων.
Ὁμοίῑ' ἐξήγγειλε τοῖς Σουακίκῳ,
Μὴ δηθύνειν καλοῦντι πειθαρχεῖν τάχει,
Ἀλλ' ἐξιόντας ἁδεῶς ὁπηδεύειν,
Ἐς Χῖον εἰσπλεύσαντι ἀρῴωγῆς χάριν·
Αὐτοὶ δὲ ἠναίνοντο, ὡς ὀρρωδοῦντες
Τὴν Λαζαρικὴν ἐγκατάσκηψιν λάβρον,
Καὶ φρουρίῳ πέλαζον ὡς κρυσφηγέτῳ.
Ἀλλ' ἦν δέδοιαν ἐκτός, ἠσθάνοντ' ἔνδον,
Πειρῶντο δ' ἐξωλείας αἰσχατωτέρας.
Ὃς γάρ κεν αἰσθεὶς οὐδαίῑζ' ἔτι στόλον,
Ἀλλ' ἀρτεμῆ προσῆγε Σουακικόνδε,
Καὶ ἠρέτμου ἔννυχος, ὡς ἂν συμμάρψῃ
Νῆας, πρὶν ἀλλοίωσις αἶσι ξυμβῇ τις.
Ἐπεσκόπει δ' ἔωθεν εἴλην πειραστοῦ
Τὴν ἐκ νότου τέμνοντος, ἦ Λάζαρός τε.
Ἔστειχε δ' ὄρφνος ἠδ' ἀφώσφορον λαῖτμα
Σβεννυμένῳ λαμπτῆρι ἐκ φρενοκλόκου,
Ἐπὰν δὲ φαῦσις ἐκκάλυπτ' ἑκατέρῳ,
Ἐξετράπη πρὸς λαιὰν ἦν ἐξὸν Χίου,
Ποτητὸς οἷα εἰσκαταπτάσῃ ὅρμῳ.
Βαδουάρῳ δ' ὑπήντα, κἂν παρεξετράπη,

Ἐς οὐραχοῦ ταχθέντι εὐσταλοῦς τάξιν.
Τραπεὶς δὲ νῶτα ἦν ἑκὰς παρεκτείνας,
Αὐτὸς δ' ἀφεῖται, ἕσπεταί τε Λαζάρῳ,
Ἐς Σουάκικον προσπεσεῖν αἱρουμένῳ.
Ἦν δ' ἀλίκλυστος φρουρὰ πρὸς πλευρὰς ἄμφω,
Διτταῖς βάρεσι συνδεούσαις ἀπτώτας,
Μυχῷ μέσῳ τευχθεῖσα Γογγύλου κόλπου,
Οὗ κύκλος ἐρρήγνυτο ἐς στενὸν πόρον,
Διεξόδους πλωτῆρσι συγχωρηγοῦντα.
Ἔνθ' ἄκρ' ἑκατέρωθεν, ἰσόσταθμ' ἄττα
Ἄλληλ' ἐποπτεύοντο, ὡς ξυνωρίς τις,
Οἷς ἐμφύτευον μαχεῶνε ἀντωπώ,
Πλώτηρσι δυσμενέσσιν εἴργοντ' ἐμβάσεις.
Λάζαρος ἔμπης ὢν φυῆς ὑπερζέστου,
Οὗτοι δέδοικεν ἐκτάσεις πυρεκβόλων.
Κατασκοπεύσας γάρ κε φρουρίου θέσιν,
Εἴσβαινεν ἀτρόμητος, ἀλλ' ἀτυζηλός,
Τοῖσδ' οἷσι τούπάγγελμα δειματοῦν ἅπαν,
Ἔργοισι μᾶλλον τοῖς ἔκαθεν γηΐνοις.
Ἀθρῶντες εἴπερ θάρσος οἷον οὐδέπω,
Τὰ πρῶτ' ἀνῆπτον ὅσα πυρφόρων ἴσχον
Ὁμοῦ θ' ἅπαξ τε, εἰς ἐλατῆρα στόλον,
Εἶτ' ἀκλεῶς κάλλιπον αὐτὴν φρουράν τε,
Καὶ νῆας ὅσσας, Λαζάρου δυναστείᾳ·
Ὅς νηόθεν γὰρ ἔκτοθεν τεταγμένων,
Βόμβαισιν ἐτροποῦτο φῦλ' ἀσπιζόντων,
Λύτοὶ δὲ προσπέφευγον οὔρεσ' Ἀσίης.
Σφῶν δ' οὐδένειαν ἴδετ' ἐνδεδειγμένην·
Ναῦν συγκατίσχον ὄμπνιον Μαυρουσίην,
Τέσσαρσιν ἐν δεκάσι πρὸς μεσευούσῃ
Πυρεκβόλων διαμφὶς ἐνσκευασθεῖσαν.
Φρουρά τε κομπάζουσα τριπλόαις ἄλλαις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρὸς τρισὶ τοίοις, πετροπομπῶν δ' ἑπτά τε.
Ἔμπης μετὰ πρῶτον μὲν αἶθος πυρφόρων,
Ἄνευ ἀμύνης συντεταμένης ἄλλης,
Συγχώρεον τὰ πάντα δηώσοντ' ἴσως.
Ἀναστατεῖ δὲ εἰσιὼν φρουρὰν ἄρδην,
Ἔκβαινε δ' εὔφρων, εὖ λαφυραγωγήσας·
Πρὸς φορτικῶν τέσσαρσιν ἦγε γὰρ δέκα,
Καὶ νῆα, ἣν ἔφημεν ὄμπνιον μάλα,
Δύω δέ τε τριήρα, χ' ὁλκάδα μίαν,
Κἄλλην μεγίστην φορτικῶν κολοσσαίαν,
Ἀνάπλεως ἁπάσας ἐντίμου γόμου,
Νόσων ἐς ἄλθος, καὶ ἐδωδῶν χρησίμου.
Χ' ὑποστρέφοντα δέκτο αὖ πόντος Χίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ ΙΘ'.

Τοιαῦτ' ἄτυζον ἔνδοθεν Βυζαντίους,
Τύρβη δέ γ' ἐξηχεῖτο ἀθυρογλώττων,
Ἐπείπερ ἐλλείπουσιν ὧν ἐδωδίμων
Εἴθιστο λαύρως δαψιλεύεσθαι πόλιν.
Οἵ τ' ἀμφέποντες ἐν διουάνῳ κράτος,
Σκέπτοντο πάντῃ ἐκδικῆσαι τοιάδε.
Ἄναξ τ' ἐφηβότητος ἤδη προσψαύσας,
Καὶ χεῖρ' ἄναρκτον οἰακίσμασ' ἐκτείνας,
Πάρεδρον αὐτὸν βούλεται ἐκστρατεῦσαι,
Ὡς πρῶτ' ἀριστεύσαντα ναυμάχοις ἔργοις,
Ἀποινάσαι Λεύκοφρυν ἐξαρπασθεῖσαν.
Αὐτὸς δ' ὑπείκων θυμὸν ἦν δεικνὺς μέγαν,
Καὶ ἠγγύα φέριστα συγκατωρθῶσαι
Ὁπόσσα ἠτόνησεν ἐξ εὐωρίης.
Ἦν γὰρ παρασκεύασμα ἀρτίου στόλου,
Πρὸς ᾧ στόλαρχος ἔσχεν ἐς πόντον Σάμου,
Τριήρων μὲν τρεῖς δεκάδες τοὐπίπαν,
Καὶ σολτανῶν ὀκτώ τε πρὸς δέκ' αἰτναίων,
Κλητῶν μαώνων δ' αὖτε εὐσθενεῖς δέκα,
Τανῦν ἐπεὶ πάρεδρος ὅσσους κωπῆας
Ἐκ Μεχμεῖτῶν δίζεται ἐλευθέρους,
Κοὐ χριστολάτρας, ὥστ' ἐρετμοῦν, κἀλκάζειν,
Νεήλυδας δ' ἔνειμε τῶν δ' ἀνὰ μίαν
Ἑπταπλόους ἑκατὸν ἐκ θρασυφρόνων,
Μάχεσθαι ὡς οἵας τε πρὸς μίαν ἄλλην,
Λῖς ἴσμεν εὖ οὔπωτι μὴ κατισχύσαι.
Ἴσχον δ' ὑπαὶ Σηστοῦ τε φορτικὰς νῆας
Νεηλύδων βριθούσας ὀκτάκις δέκα,
Τριήρεάς τε πέντε, ταῖςδ' ὑπουργούσας,
Ἵν' ὡς ὑπερφέροντες ἀλίων ἔργων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ποιῶσιν ἐς Λεύκοφρυν ἀσφαλῆ βάσιν.
Ἀλλ' ὧν πάρεδρος δεινὸς ἐκτὸς συμφράδμων,
Λάζαρος ἐκτὸς κηδεμὼν ἀντιφθόγγων.
Ἦν γὰρ δοκάζων δυσμενῶν διεξόδους,
Ὁμοῦ τε προὐμηθεῖτο καὐτῶν ὑδρείων,
Ὡς μὴ μάχεσθαι ἀργίᾳ διψαλέους·
Καὶ ἐς Σίγαιον, ἐκβολῶν πρὸ Σκαμάνδρου,
Τριήρεας προὔπεμπε πεντηκοντόρων,
Καὶ ἦρυον κάλλιστα καφθόνως μάλα,
Κἂν δυσμενεῖς πειρῶντο, ἱππεῖς πρυλεῖς τε,
Βίης ἐλάσει κωλύειν λειψυδρίους·
Ἀλλ' ὑστεραίᾳ δρᾷν γλίχοντό τι κρεῖττον·
Γῆς ἐμβάτευον ἣ ἔδει περαιτέρω.
Τρεπτῆς ἀτὰρ γεύοντο τοὐντεῦθεν τύχης,
Καὶ νόστεον κάκιστα οἰκτρῶς καθύμως
Δεινὴν ὅσοι πέφευγον ἀκμὴν φασγάνων.
Αὐτοὶ γὰρ ἀλθήσαντες εἰς τρισχιλίους,
Ἀνέδραμον πρὸς τοὔξδε αὐθαδισθέντες,
Καὶ ἤλασαν πλήττοντες ἄχρι ῥηγμίνων,
Ἐν αἷσιν ὠλέκεισαν ἄνδρες γενναῖοι,
Πρὸς εἴκοσ' εὐζώνοισιν ὡς ἑκατόν που·
Ὧν ταξίαρχοι, Ἰταλῶν ἐκφυάδες,
Κλητὸς Μαφαῖος, θρεπτὸς ὢν Οὐηρώνης,
Καὶ φαιδρὸς Οὐόλπης τε, ἀστυκὸς Κύρνου.
Λοιποὶ δ' ἐπεμβαίνουσι δύσθυμοι σκάφῃ,
Κἂν ὤπτανον διώκτας ἐξειργασθέντας
Οὐ πάντας, ἀλλ' ὅσους περ ἀθρόοις βολαῖς
Σκαφῶν ἐκερμάτιζον ἔμπυροι πρῶραι.
Ἐπεὶ δὲ Μωκενῖκος ἐλλείπει Χίου,
Ἐνδύεται στόλαρχος ἐς τήνδ' εὐθύμως,
Διΐσχύων εἴκοσι πρὸς πέντ' Ἀλγήρης.
Ἐφ' ᾧ θ' ὃς ἐξέπεμπε πέντε πρὸς δέκα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νῆας μεγίστας εἰς ἔρυμα Τηνίων.
Μάρκον δ' ἐφίστα συμπάσαις Βαρβαδῖκον,
Ἐμὸν τόκον κύδιστον, οὐκ ἐξιστάντα
Γεωργίου τέξαντος, ἀρίστου φῦντος.
Αὐτὸς δέ γ' ἐς Σίγαιον ὑδρεύσων τρίτον,
Εἰς οὐδένειαν δυσμενῶν αὐχησάντων,
Μετασταλεὶς φυλάρχας, οἷς φωνεῖ τάδε·
» Ἐγὼ μέν, ἄνδρες, οὐκ ἀνέσχομαι ὕβριν,
» Ἣ ἐνδεδύκειμεν χθές, εἰκῇ κἀσκέπτως,
» Ἐς ταὐτὸ οὗ ὕβριστο εὔκλεια ὅπλων,
» Ἣν μέχρι τοῦδε αἴρεται πολιτείη.
» Ἥκιστ' ἀνεκτόν, μὴ ἀναζωπυρήσω.
» Ὑμεῖς ὑφηγέεσθε τοῖσ' ἀπβαίνουσι,
» Κἀμύνατ' ὑδρεύσοντας ἐκ τροπῆς πάσης,
» Ἀδιόπους δ' ἐμοῖο οὐκ ἐῶ θάλπους,
» Πρόφρων ἐγὼ γὰρ ἔσπομαι κραταιώσων.
» Μή τις δὲ τόλμα ὁπλίταις περαιτέρω.
» Ἀρκεῖ δεδεῖχθαι τοῦργον ἐξ ἀλωβήτου,
» Ὡς καὶ δέδεικτο προστατοῦντός μου ἄλλῃ· »
Ἀτὰρ πάρεδρος ὢν ἐπειχθεὶς εἰς ἔκπλουν,
Πρὸς Σηστὸν ἠγκύρωσε μάχιμον στόλον,
Ἡνωμένος δὲ φορτικαῖς προὐνεχθείσαις,
Ἔκπαγλ' ἀπειλεῖ τοῦδ' ἄχρ' εὐδοκηκόσιν.
Ἐπεί γ' ἑκατέρωθι πλευρῶν Βοσπόρου,
Τέτευχε μαχεῶνας ἐκ Σηστοῦ δύω,
Ἐκ δ' Ἀβύδου τέσσαρας ἄχρι Σκαμάνδρου,
Στρατῷ δέ τ' ὠχύρωσε ἐκ δισμυρίων,
Ἵν' ἔξοδος γένοιτο ἀσφαλὴς ἄλλων,
Καὶ ἀσφαλεστέρα τε ἐκβαίη πάλη,
Ὁμοῦ τε κωλύοιντο λοιπὸν ὑδρεύσεις,
Καὶ εἰ δέον τε συγκαλύπτεσθαι στόλον,
Τύχης διώκταις αὖ τυχὸν συμπράξάσης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοιαῦτα Μωκενῖκον εἰς Ἴμβρον σπέρχεν,
Ἀναδραμεῖν ἄνυδρον ὡς νοστῇ πίδακι,
Ταχὺ θ' ὑδρεύσων φῦλα, κἀν καιρῷ πάλης.
Δήθυνεν ἔμπης ἀντιβάντος καικίου,
Κἀπικρατοῦντος ἥμας' οἷά που δέκα,
Ἀλγεῖ δ' ἀήτῃ μὴ ἐόντ' ἐπαρκέσαι
Διψαλέοισι, καὶ προεξάρξαι πάλης.
Ἀντώνιον δ' ἔπαρχον Ἀδρίης κόλπου
Μετασταλεὶς σὺν τρισὶν ἐκ τριήρεων ἄλλαις,
Ἐντέλλεται τοῖσι συγκομισθῆναι τάχει,
Στόλῳ ἐπαρκέσοντας ἄτλητον δίψος.
Οἱ δ' ἦκον ἐν δέοντι πρὸς πηδῶν βίαν.
Ἱμός τ' ἀήτης παῦε ῥαγδαίας ῥύμης,
Καὐτὸς πάρεδρος ὢν φρυκτὸς ἐς πάλιν,
Οἷα κρατήσων ῥᾷστα ναυμάχων ἔργων,
Τέτακτ' ἐς ἔκπλουν, ὡς δάϊζέ τε στόλον.
Πρὸς Σηστὸν οὖν ὥρινε νῆας σολτάνας,
Πρὸς δ' Ἄβυδον μαῶνας, ὅσσας θ' ὁλκάδας,
Ὅς δ' ἐν τριήρεσ' οἷάπερ ταὼς γαῦρος,
Λοξῶν ἀνακλῶν τὰς πτέρυγας ἐκπλήττει
Θεητὰς ἐμμένοντας ἀλλ' ἀκινδύνως.
Ἐκ σολτανῶν γὰρ πέντε, ἔνθεν τὴν Βέμβου
Στρατηγίδ' εἰσάρασαν ἀγκυρωτήν τε,
Αὐτὸς δ' ἀμύνων ἐντόνως σκηπτοῖς ὥσπερ
Κακῶς ἐποίει ἀντίων στρατηγίδα,
Διττάς τε ἄλλας· χ' ἡ μὲν εἰσρεῖ Τρωάδι,
Διτταὶ δ' ἔλοντο ἄγρα πάντως Βέμβῳ,
Ἀπ' ἀγκύρων ἄραντι θάλψει κοινώνων.
Ἔνθεν δὲ πέντε τῶν μαώνων αἱ κρείττους,
Ἡ Βαταΐας ἴστα πεντηκοντόρῳ,
Ἐπεισπεσοῦσαι ὡς λάβρως κἀπεινῶς τε,
Εἶκειν βίαζον, κἂν ἀνένδοτος πρόμος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤμυνε γὰρ κράτιστα πυρσῖς ἐντέχνοις,
Ἐπεὶ πυρεκβόλοισιν οὐκ ἐξῆν χρῆσθαι,
Πρὸς πλευρὰς εἴπερ ἡ ἐπέμβασις σκάφους.
Ἄθροι δ' ἐπεισπηδῶσιν ἄχρις ἐγκάτων
Νεηλύδων ὅμιλος ἡμιχιλίων,
Καὶ ἦν ἁλοῦσ' ἂν ἄρτι ἐξ ἀηθήτου,
Τῶν ἀναλώτων φῦσα καριδεικέτων,
Ἢν Ἀλόϋσος, Φωσκάρηων οἰκίας,
Οἰκεία ἧ ἐφίστα πεντηκοντόρῳ,
Μὴ προὐφθάκει ἀμύνας, ἔκδικος πέλων,
Βάλλων πυρεκβόλοισιν εἰσπηδηκότας,
Οὓς πτοῖα μείζων ἔσχεν ἐκ βολῶν ὅσων
Πυρεκβολίσκων ἀστραπαιολοβρόντων,
Καθ' ἁλὸς ὡς φέρεσθαι ἐμβροντημένους,
Καὶ ῥᾷστα λύεσθαί τε τὴν Βαταΐου·
Ὡς τρεῖς μαώνας μεῖναι ἄγραν Φωσκάρει,
Κἂν κενὰς ἀνδρῶν καὶ νεηλύδων πάντῃ,
Ἐς οὖδας Ἀσιαῖον ἐκπεφευγότων.
Ἀλλ' οὐκ ἄδακρυ γῆθος ἐξ ἀγρευμάτων·
Λαιὰν γὰρ Ἀλόϋσος οὐτηθεὶς μάλην,
Ἣν ἀμπέχειν οὐ φθῆσε χάλκεος θώραξ,
Πυρεκβολίσκῳ, πρότριτ' οἰκτρῶς ἐξέπνει.
Βαταΐας δ' ἔνδακρυς ᾧ ἀναγράφει
Τουτὶ τρόπαιον, κἀνεκάλει σωτῆρα.
Ἔνδειξις ἦδ' ἔφερβε λοιποὺς ἐν στόλῳ,
Καὶ πρὸς πάρεδρον ἠρέτμουν θαρραλέως,
Οἱ δ' ἐς φυγὴν ὥρμηντο καὶ παλινδρόμουν.
Οὐκ εἶα δ' οὖρος ἀντίον τεταμμένους,
Καὶ προσκέκρουκαν σύρτιν εἰς ἐωΐαν.
Ἀτὰρ πάρεδρος συγκαλυφθεὶς Συγαίῳ,
Οὗ μαχεώνων πυρίαι συνηγόρουν,
Τέτταρσιν ἄλλοις ἠγκυρώθη ἑδραίως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μέντοι γε Μωκενῖκος ἐμβιμωθείς πως,
Ἔπλει κατ' αὐτοῦ, κἂν ἀήτης ἦντία.
Καὶ ἵκαν' ὀψὲ κώπαδῶν μονωθείς περ,
Πρόμου Μελιτῶν, κἀρχιποίμενος Ῥώμης·
Οἵ τῆνες αὖ ξύμβαινον ἐς ξυμμαχίην,
Νωθρῶς δ' ἐρέτμουν καὶ ἄπωθεν ὠμάρτουν.
Ἔνθεν πάρεδρος αἴρει ἀγκυρισμάτων,
Κοινῶσιν αὐτοῖς ναυκρατεῖν πεπεισμένος.
Πειρᾶτο δ' οἷος Λάζαρος θρυλλημένος,
Ἤμυν' ἐπεὶ κράτιστα συμπάσας παίων,
Καὶ μὴν διῆρκεν ἡνεκὴς ἐγρηγόρως·
Μέσῳ δὲ νυκτὸς δευτερεύουσαν πάσαις
Ἁλίσκεται αὐτάνδρου, αὐτῷ τε πρόμῳ,
Νεηλυδάρχῃ τυγχάνοντι ἀξίην.
Φαῦσις δ' ἐπὰν ἔγεντο, καὶ ἐπεῖδ' ὅτι
Ὅς οὐ πάρεδρος ἀτρεμεῖν οὐκ ἠρκέσθη,
Ἀλλ' ἠρέτμου πρὸς τόνδε αἶψα κἀτρέστως,
Κἂν μαχεῶνες ἀσφαλῶς ἐγκάλυπτον
Ὀκτὼ σὺν ἄλλαις ἀλκιμωτέραις στόλου.
Ἔμπης Μελιτῶν κἀρχιθυτίων πρόμοι
Ἀπότρεπον βουλείας ἐν μειλιχίοις,
Ὡς ἀσμένως φέροιεν ἡντινοῦν λώβην
Καὶ ζημίην ὁππoίαν, ὡς ἐγνωσμένον
Ἐν ναυμάχοις ἔργοισι κἀπιποντίοις,
Πρὸς μαχεῶνας μέντοι ἑδραίους γαίῃ
Εἰκαῖα ὁρμὴ πᾶσα κἀθετητέα,
Λωβᾶν ἔχοντας πλοῖα καὶ μὴ λωβεῖσθαι.
Ἀσύγκριτος γὰρ τοῖςδ' ἄμυν' ἀμοιβαῖα,
Στερρόϊσιν οἷς ἑαῦσι καὶ τοῖςδ' ἀστέγοις,
Καὶ οἷς κρέη βάλοῦσι, τοῖσι δὲ χθῶνα.
Λαζάρῳ ἔμπης οὐ μέμηλε τοιάδε,
Οὐ πῦρ ἄτυζε γάρ κεν, οὐ σίδηρός τις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤμυνε γὰρ κράτιστα πυρσῖς ἐντέχνοις,
Ἐπεὶ πυρεκβόλοισιν οὐκ ἐξὴν χρῆσθαι,
Πρὸς πλευρὰς εἴπερ ἡ ἐπέμβασις σκάφους.
Ἄθροι δ' ἐπεισπηδῶσιν ἄχρις ἐγκάτων
Νεηλύδων ὅμιλος ἡμιχιλίων,
Καὶ ἦν ἁλοῦσ' ἂν ἄρτι ἐξ ἀηθήτου,
Τῶν ἀναλώτων φῦσα καριδεικέτων,
Ἣν Ἀλόϋσος, Φωσκάρηων οἰκίας,
Οἰκεία ἧ ἐφίστα πεντηκοντόρῳ,
Μὴ προὐφθάκει ἀμύνας, ἔκδικος πέλων,
Βάλλων πυρεκβόλοισιν εἰσπηδηκότας,
Οὓς πτοῖα μείζων ἔσχεν ἐκ βολῶν ὅσων
Πυρεκβολίσκων ἀστραπαιολοβρόντων,
Καθ' ἁλὸς ὡς φέρεσθαι ἐμβροντημένους,
Καὶ ῥᾷστα λύεσθαί τε τὴν Βαταΐου·
Ὡς τρεῖς μαώνας μεῖναι ἄγραν Φωσκάρει,
Κἂν κενὰς ἀνδρῶν καὶ νεηλύδων πάντῃ,
Ἐς οὖδας Ἀσιαῖον ἐκπεφευγότων.
Ἀλλ' οὐκ ἄδακρυ γῆθος ἐξ ἀγρευμάτων·
Λαιὰν γὰρ Ἀλόϋσος οὐτηθεὶς μάλην,
Ἣν ἀμπέχειν οὐ φθῆσε χάλκεος θώραξ,
Πυρεκβολίσκῳ, πρότριτ' οἰκτρῶς ἐξέπνει.
Βαταΐας δ' ἔνδακρυς ᾧ ἀναγράφει
Τουτὶ τρόπαιον, κἀνεκάλει σωτῆρα.
Ἔνδειξις ἥδ' ἔφερβε λοιποὺς ἐν στόλῳ,
Καὶ πρὸς πάρεδρον ἠρέτμουν θαρραλέως,
Οἱ δ' ἐς φυγὴν ὥρμηντο καὶ παλινδρόμουν.
Οὐκ εἶα δ' οὖρος ἀντίον τεταμένους,
Καὶ προσκέκρουκαν σύρτιν εἰς ἑωΐαν.
Ἀτὰρ πάρεδρος συγκαλυφθεὶς Συγαίῳ,
Οὗ μαχεώνων πυρίαι συνηγόρουν,
Τέτταρσιν ἄλλοις ἠγκυρώθη ἑδραίως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μέντοι γε Μωκενῖκος ἐμβιμωθείς πως,
Ἔπλει κατ' αὐτοῦ, κἀν ἀήτης ἠντία.
Καὶ ἵκαν' ὀψὲ κώπαδῶν μονωθείς περ,
Πρόμου Μελιτῶν, κἀρχιποίμενος Ῥώμης.
Οἵ τῆνες αὖ ξύμβαινον ἐς ξυμμαχίην,
Νωθρῶς δ' ἐρέτμουν καὶ ἄπωθεν ὠμάρτουν.
Ἔνθεν πάρεδρος αἴρει ἀγκυρισμάτων,
Κοινῶσιν αὐτοῖς ναυκρατεῖν πεπεισμένος.
Πειρᾶτο δ' οἷος Λάζαρος θρυλλημένος,
Ἵμυν' ἐπεὶ κράτιστα συμπάσας παίων,
Καὶ μὴν διῆρκεν ἠνεκὴς ἐγρηγόρως·
Μέσῳ δὲ νυκτὸς δευτερεύουσαν πάσαις
Ἁλίσκεται αὐτάνδρου, αὐτῷ τε πρόμῳ,
Νεηλυδάρχῃ τυγχάνοντι ἀξίην.
Φαῦσις δ' ἐπὰν ἔγεντο, καὶ ἐπεῖδ' ὅτι
Ὅς οὐ πάρεδρος ἀτρεμεῖν οὐκ ἠρκέσθη,
Ἀλλ' ἠρέτμου πρὸς τόνδε αἶψα κἀτρέστως,
Κἂν μαχεῶνες ἀσφαλῶς ἐγκάλυπτον
Ὀκτὼ σὺν ἄλλαις ἀλκιμωτέραις στόλου.
Ἔμπης Μελιτῶν κἀρχιθυτίων πρόμοι
Ἀπότρεπον βουλείας ἐν μειλιχίοις,
Ὡς ἀσμένως φέροιεν ἠντινοῦν λώβην
Καὶ ζημίην ὁππoίαν, ὡς ἐγνωσμένον
Ἐν ναυμάχοις ἔργοισι κἀπιποντίοις,
Πρὸς μαχεῶνας μέντοι ἑδραίους γαίῃ
Εἰκαῖα ὁρμὴ πᾶσα κἀθετητέα,
Λωβᾶν ἔχοντας πλοῖα καὶ μὴ λωβεῖσθαι.
Ἀσύγκριτος γὰρ τοῖσδ' ἄμυν' ἀμοιβαῖα,
Στερρόϊσιν οἷς ἐοῦσι καὶ τοῖσδ' ἀστέγοις,
Καὶ οἷς κρέη βάλουσι, τοῖσι δὲ χθῶνα.
Λαζάρῳ ἔμπης οὐ μέμηλε τοιάδε,
Οὐ πῦρ ἄτυζε γάρ κεν, οὐ σίδηρός τις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπεὶ πνέων πέφυκε πῦρ ὑπερζέον.
Ἀλλ' αἱρετίζων τρεῖς τριήρεων κρείττους,
Ἀντωνίοιο τὴν στρατηγίδ' Ἀδρίης,
Καὶ Βηνεδίκτου, οἰκίας Μιχαήλων
Ταρουϊσίοις τευκτήν τε εἰς ὑπουργίην,
Τάςδ' ἦγεν, ἀρέτμου τε πρὸς Σηστοῦ μοῖραν,
Ὅποι πάρεδρος συγκαλύπτετ' ἀπράγμων
Ἐν μαχεῶσι δυσὶ δὶς πυρσοβρόμοις,
Ἐννοίᾳ εὐσταθῇ αὐτὸν συμμάρψαι,
Καὶ αἰχμάλωτον ὡς νεηλύδαρχόν τε
Ἄξαι Θριαμβον ἐς πολιτείην μέγαν.
Ὑπὲρ μόρον δ' ἔσπευδε οἱ πεπρωμένων,
Καὶ ἦρχετ' ὧν λέπτυνις ἥντυν' ἐκκόπτειν.
Παραδραμόντα γάρ κεν ἢ ἔδει πρόσω,
Τὰ πυρὰ ἠκόντιζον ἄτῃ καιρίᾳ.
Σκηπτῶν δίκην ἐπείπερ ἐμπίπτοντ' ἄδην,
Κωπῆας ἐκπλήκτιζε, κῶλεκε πλείστους.
Ἀλλ' ὃς δαΐφρων, οἷα τῶν ἀδειμάντων,
Ἑστὼς ἐπὶ προβλῆτος ἀντ' ἐρετμάρχου,
Προσωτέρω βίαζεν ἐνσκήπτειν σκάφη,
Κᾆν πυρὰ ἠμάλθευεν οὐλοὴν ἄτην,
Λεληθότως τε τοῖον ἄνδρα προὐκάλει,
Ὡς ἐκποδὼν δράσειε, κᾆξαφανίσῃ.
Πασῶν μία γὰρ προσβολῶν πυρεκβόλων
Ἐπεισπεσοῦσα ἐγκάτῳ στρατηγίδος,
Ὅποι κόνιτρα εἰρύονται πυρφόρα,
Καὶ ἀΐδην εὖκδε κικλήσκειν σφίσιν,
Αἴθει σχεδὸν πρόπασαν, ἐγχρύσου πάρεξ
Πρώρας, ἀριστῆάς τε, καὐτοὺς κωπῆας,
Αὐτοῦ δ' ἅτ' ἀδάμαντος ἥψατ' οὐδάλως.
Εἴγ' αἰθερῶδες πῦρ τὸ φιτύσαν λόγος
Ὅτου ὑλαῖον φὺ κατισχύει πάμπαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' οὔτε εἶγμα τοῦδε πυρὸς λαύρου περ
Πρὸς Λαζάρου πῦρ φυὲν ἐξ ἀνεικέστων·
Ποσῷ γὰρ ἤδη καὶ ὑπὲρ μέτρον μέγα,
Ποιῷ ἀτάρτοι ἧττον εἰ συγκριθείη.
Φλέγει τόδ' εἴπερ ἀλλ' ὑπόβλητον μόνον,
Οὗτος κέαρ δὴ Ὀτμάνων χ' ὑπηκόων,
Τῶν ἄγχι αὐλῆς καὶ ἄπ' ἐκτεταμένων,
Δείγμασιν ἐξέφλεξεν ἐξ ἀρειόνων.
Τίς γάρ κεν ἄχρι τοῦδε, ἦδ' ἀφ' οὗ φύτλη,
Ἐπὶ ξυροῦ τέταχεν εὐρὺ σφῶν κράτος,
Ὡς πάμμαχος νῦν Λαζάρου εὐτολμίη;
Λέπτυνις ἦν μὴ ἐγκανεῖ πεπρωμένον,
Ἴδοιτ' ἂν ἄφθιτ' ἔργα τῶν πατρῶν φύντων,
Κάλωας ἔμπης ἀμφικείρασ' ἱστίου,
Κατῆξ' ἄκρως κεραίαν ἅμα ῥαγδαίως,
Κατὰ κρὰς ἀριστῆος ὠλέσασ' ἄρδην.
Καὶ βαρύμηνις οἷα ῥίψασ' ἐς πόντον,
Νηρεῖ δέμας πόρσαινεν, ἐς κητῶν ἔδαρ,
Ὡς μὴ ὑπερβῇ καὶ τυχὸν γαιήοχου,
Θνητῶν ἐπὰν δέδεικτο προΰχων, ὧν ἴσμεν
Ὠγυγίων τε καὶ νεωτέρων ἄλλων.
Ταρουΐσιος δὲ ἦ τριήρει παρμένων,
Ἐσπουδακώς τε τῆς στολαρχοῦντος δόκης,
Ἐκ Νηρέως πῶς ἥρπασ' ἄγναμπτον δέμας,
Ὡς ἂν πάτρῃ ῥύοιτο ἐν θησαυροῖσι,
Τῶν ἀξίης μνήμης μὲν ἀγαθουργέτην.
Τοίως τανῦν λέπτυνις ἔσπευδ' ἐκτρέψαι
Εὔκλειαν ἄχρι τοῦδε πρὸς πολιτείης
Ἔργοις ἀρηΐοισι προσκεκτημένην.
Μετ' οἶτον εἴπερ τοίου ἐγχεσιμόρου,
Ἐς δευτέραν ἐπείχθη ἀνδροκτασίην.
Βάρβαρος εἴπερ οἰκίας Βαδουάρων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

Οἷα προόπτην καὶ μιμηλὸν Ἀαζάρου,
Ἐξ αἰτίας κούφης μὲν ἠτονηκότα,
Πρότριτ' ἀνῆρει καὶ προΐαλλ' ἐς γνόφον,
Ὡς εἰ πέπωκε φάρμακον δηλημάτων·
Λοιποῖς παρεσκεύαζεν ἐμφάσεις δέους.
Ὢ; νηπίοις φόβητρα μαῖα βαμβαίνει
Δυσυπνέουσιν ὡς ἀβακῆ καροῦσθαι,
Ὢ; κωματώδη οἵ τρέποντο εἰς ὕπνον,
Ὀρφνὸν δ' ὀνειρώττουσι πρὸς νότου νέφος,
Τεκμήριον δ' ᾤοντο μελλούσης ζάλης·
Ὅναρ δὲ συγκρίνουσιν, ὡς στολαρχέων
Σὺν τρὶς δέκα βέεσιν ἐκτὸς προσμείνας,
Κελαινὸν ἦν φρικῶδες ἐκ νότου νέφος,
Καὶ δείδιον μὴ ἔνθεν ὁρμήσας ἴτης
Ἐν κινδύνῳ θήσοιτο χρῆμ' ὅσον στόλου.
Ἀλλ' οὐκ ἐπεῖδον, οὔτ' ἔτι μνῶντ' ἀρτίως
Πρὸ ὀμμάτων καὶ προτοῦ εἰργασμένων,
Πρὸς νηρίθμους στόλους μὲν ἐξ ἑνερτέρου.
Τοίῃ στόλαρχος ἐπτεροῦτο ἐλπωρῇ,
Λελυμένην Λεύκοφρυν Ὀτμάνων ὕπερ,
Αὐτὸν κατίσχειν κἀπαναστρέψαι κράτει.
Οὗτοι δ' ὀνειράτοισιν ἐμβροντηθέντες,
Οὐκ ἠλέγιζον κῆδος ὁππόϊον τόδε,
Καὶ πειραθέντα φῦλα ἔνθεν πορθμεῦσαι,
Οὐκ ὀπτάνειν δύναντο συγκεκυφότες.
Νεηλύδων δ' ἔπλητο νῆσος ἀπλέτων,
Κλαγγῆς δ' ἀήρ τε, ὡς πόλιν συσσείεσθαι,
Ὥστε προβούλους μὴ ἰδεῖν ἀνασχέσθαι
Οὓς δείδιον πόρρωθεν ἐκ κλαγγῆς μόνης·
Τούθ' εἵνεκ' εἰς ἄμυναν οὐχ ἥγημά τι,
Οὐ δημοσιακῶν τε φειδὼ ἢ κῆδος,
Ἀμνήμονες γεγῶτες ἐν Γερουσίῃ

Ὡς ναυλοχᾷν κυροῦτο τῇδ' ἀεὶ στόλον
Ὧρεσι πάσαις ἐς τίσιν Βυζαντίων,
Καὶ ὡς ἀποκτᾶσθαι τάδ' αἰσχρῶς κἀκόσμως,
Ἅπερ μήθου νόμοισιν ἦν κεκτημένα,
Ἁμαρτὰς ἥδε τῶν δίκης ὑπευθύνων.
Ἀτὰρ βεβακχευθέντες ἐκ κενοῦ τάρβους,
Ἠμνημόνευον δογμάτων Λυκουργίων,
« Ὡς ἀσμένως ζῆν, ἀσμένως τε κατθνήσκειν,
» Ἄμφω κύδιστα, ἀρετῇ δ' εἰργασμένα·
Πόλιν δέ γ' ἐλλείποντες ἔμπλεων ὅπλων,
Καὶ ταμιείων πλημμύραν ἐδεσμάτων,
Τριήρες' ἐμβίβαζον ὁπλίτας ὅσους
Ἐγχωρίους τε, καὶ μεθ' οὓς πρόβουλοί τε
Αὐτοί τ' ἐπεμβαίνουσι, κἀποχωροῦσι.
Λευκόφρυος γοῦν ἀκλεῶς ἀποδράντων,
Ἀμφιγνοοῦσι δυσμενεῖς, ἢν εἰσίθμη
Σφίσ' ἀσφαλὴς εἴη εἰς ἀχύρωμα
Ἀπαρτίᾳ σκευασθὲν ἐκ δυσπορθήτων.
Ὅθεν τόπαζον μὴ δόλῳ παρεισάχθαι,
Καὶ πυρικαύστους βρῶμα Κέρβερον δέχθαι.
Ὑποψίην δ' ἐπηῦξαν, εἴπερ ἦν δέον,
Ἐπεὶ διεσκέπτοντο ἐλλείπειν πόλιν,
Ἀναστατῶσαι πρῶτον αἴροντας μέντοι
Ὁπόσσ' εἰς εὐέρκειαν ἴσχον παναλκῆ,
Καὶ τηλόθ' εἰσβάλλοντας ἴσχειν οἵους τε.
Ἀλλ' ἐς πνιγίσκον πῦρ βαλόντες ἐξῆπτον,
Οὐ βυσσόθεν μέντοι γε ἀλλ' ἀνεμένως,
Ὡς τούσδε οἴεσθαί τις ἐμπλέχθαι δόλῳ.
Ὅθεν τριταῖοι ἐννύχευον ἀμφ' ἔρκος,
Πύλας τε εὐλαβοῦντο κἀνεῳγμένας·
Ἐπὰν δὲ ᾐσθάνοντο οἷς λελειμμένας,
Εἰσῆσαν εὔθυμα, θαύμαινον δέ τε

Ἄμετρον οὐδένειαν οἰακισάντων,
Ἐπὰν δέδορκαν πλημμύραν τῶν σιτίων,
Ποσῶν πυρεκβόλων τε, τῶν θ' ὅπλων κάλλος,
Οἷς ἰσχύοιεν πρὸς στρατὸν παμπληθῆ περ,
Κἀντιστατεῖν δύνοιντο προσβολῇ πάσῃ.
Τέως τάδ' ἐξέβαινεν ἐξ ὁμοίου
Ὡς γυῖα, κἂν ἁλκμαῖα κἀλκήεντά τε,
Ὑπερβαλῆς τε κράσεως ὑπερζέστου,
Ἦν ἦτορ ἠτόνησε θερμὸν ὠλέσαν,
Τῆμός τε γῇ συμπεσεῖν ἀναγκαῖον,
Καὶ ἐκλύεσθαι φυσικῆς τε ῥαστώνης.
Λάζαρος ὢν γοῦν ἦτορ ἔμπυρον στόλου,
Ἐζωπύρει πρόπαντας, ἐῤῥώνυέ τε,
Ὡς πρόφρονας φέρεσθαι ἔργοις δηΐοις.
Ἐπεὶ δὲ οὐκ ἄφυκτον οἱ πεπρωμένον,
Καὶ ἠτόνησεν αὐτὸ κράτιστον μέρος,
Ὡμάρτεε ξύμπτωσις ἐνδεεστέρων,
Καὶ ξυμβέβηκε αἰσχρὰ ὅσσ' ἀξυμφόρων.
Μύνῃσι κἂν σκήπτοντο, ὡς γόης τίς που
Ὀφθεὶς πόλησι συμπαρίστα οἷς δείλῃ,
Καὶ δεξιὰν δοὺς οὖασι, ψιθυρίσαι
Λεύκορρυν εἶᾶν, ἣν κριταὶ ἀμεινόνων.
Τοίαις παραινέσεσι τερθρέως πλάνου
Πλείους νόσῳ τοιᾷδε ἐγκεχρωσμένοι,
Τὰ πάντ' ἄελπτα χἀτέροις εἰσηγοῦντο.
Λαρήνσιος μάλιστα ἐκ Ῥηνηΐων,
Ἐπεὶ παρῆλθεν ἐς δυναστείαν στόλου,
Ὃ καὶ προσῆκεν, οἷα πεντηκοντόρων
Τακτῷ ἐπάρχῳ, δευτερεύοντ' ἐν στόλῳ
Μετὰ προόπτην τῆς διαυγοῦς ἀξίης,
Λήγειν γλίχοντο δῄρεως κακουχίας,
Καὶ συμπαρῄνουν τοῖν προβόλοιν Λημνίων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φῦντας μιμηλοὺς προστάταισι θατέροις,
Λεύκοφρυν ἐλλείψασι βουλῇ βελτέρῳ
Ἀπαλλαγῆναι κινδύνων ἐγκειμένων,
Καὶ συγκρίσεις ποιοῦντο ἐξ ὀνειράτων,
Καὶ ὡς ἄφικτοι ἐκβάσεις ἠνιγμένων,
Ὡς τερθέως ἥγημα σύμφωνον τοῖσδε,
Κἀσκεμμένοισιν οὐκ ἀτημελητέον.
Πόλος δὲ ἦν ὕπατος οἴκου Βερνάρδων,
Καὶ δευτερεύων Φαῦστος οἴκου ἐκ Ῥίπης,
Οἳ τοῖσιν ἠμείβοντο ταῦθ' ὅπως ἔχει·
» Ἡμῖν ὄφλημα Λῆμνον ἀσφαλῶς ἴσχειν,
» Καὶ εἰρύεσθαι τήνδε εἵνεκεν κύδους
» Ἡμῶν τὰ πρῶτα, προκρίτως πολιτείης·
» Αὕτη γὰρ ἥδε κυρία μόνη κράτους,
» Χ' ἡμεῖς πεπειστεύμεθα εὐθύνειν μόνον,
» Ἥκιστον ἔμπης ζημιοῦν ἀμωσγέπως
» Ὑπεύθυνοι ποινῆς τε πότμου αἰσχίστου.
» Τερθῆος οὖν πόππυσμα ἢ ὄναρ μέλαν
» Τῶν ἀπατηλῶν καὶ φρενοκλόπων ὄντα,
» Οὐκ ἄν ποτ' ἠθρόησεν εὔορκον κέαρ.
» Ἀλλ' εἰ πεπλημμέλητο ἄλλοις τοιάδε,
» Τίμημα μιμνάτωσαν ἐκ καρατόμων.
» Ἡμῖν δὲ φρουρὰ ἀλφίτων ἐμπιπλάσθω,
» Καὶ ὡς ἐφικτὸν σίντας ἴσχομεν πόῤῥω.
» Καὶ ἦν δέῃ τε τῇ δ' ἀμύνῃ κηράναι,
» Τῶν ποτνίων τόδ' εἰς ὑπουργίην πάτρης. »
Ὡς οἵδε ἠρίζοντο εἰκῇ κἀσκέπτως,
Καὶ τερματοῦτο εἰς ἀκέρδειαν μύνη.
Ἐπεὶ γὰρ εἰσβαλοῦσιν οὔτις κωλύμη,
Ἀφεῖτο δ' οἷς ἔκβασις εὔβατος νήσῳ,
Ῥηνηρίου τραπέντος, ἀπροσαυδήτους
Ἀφεὶς προόπτας οἴχεται ὄρων Λήμνου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φρουρὰ δὲ κωμάζουσα, ὁπλιτῶν χάριν
Κἀνενδότητος τῆς προβούλων γενναίας,
Ἀντιστατεῖ φέριστα ἐμπεπαικόσι,
Καὶ κάββαλε κράτιστα δὶς καὶ τετράκις
Τειχῶν μακρῶν κρήδεμνα εἰσπηδήκότας,
Καὶ ἀντέφραττε κάρτα ἥμασ' ὀκτώ που.
Ἦν γὰρ διαρκέσουσα μέχρις ἐκκόπους
Ἴδῃ ἀπεχθεῖς ἠδ' ἀπηγορευκότας,
Καὶ μᾶλλον εἴπερ ἴσχον ἐκ παραλίων
Παρείσδυσιν πρόχειρον ἐκτὸς κωλύμης·
Προβλῆτα γάρ κεν ἀντικρὺ πεφυκότα
Οὗτοι μὲν ἠρύμνωσαν ἐκ σακεσπάλων,
Ἐξ οὗ συνηγόρουν μὲν ἀκτὴν καὶ πύλην,
Ὡς ἔνθεν ἀπρόσμαχος ἦν φρουρὰ πᾶσα.
Τοιαῦτ' ἐπεσκέπτοντο αὐτοί τ' ἐκ λόχμης,
Καὶ ἠρεμεῖν πλάττοντο οἳ ἀφροντίστως,
Νὺξ προὐκάλει ἀτάρ τις ἐκ μελαγχρώτων.
Φῦντος ποδηγοῦ κἀρεθίσαντος πρῶτα
Ἰλλυρίου του φρουρίου ἀποστάντος,
Προβλῆτα συσχέσαντος, αὐτῆς φρουρᾶς τε
Ἐπικρατῆσαι ῥᾷστα, καὶ νείκους ἄτερ.
Καὶ συσσύροντο εἰς ἄναντες ἠρέμα,
Οὗ ἐρκίταις εὔδουσι συμπεπαικότες,
Οἵκτιστ' ἀνήρουν τούσδε, χ' ὁπλιτῶν πλείστους.
Ἔνθεν πρόβουλοι μητιῶντο ξυμβάσεις,
Ἀνένδοτοι δ' οἱ πρόσθεν οἴκτους νῦν ῥήτρην
Μειλίχιοι δίζοντο, ἐξῳκισθέντας
Φρουρᾶς ἀλωβήτους τε ἠδ' ἐνοπλίους,
Ἐντυγχάνειν καὶ τούσδε τοιᾷδ' ἀφέσει,
Ἢ καὐτοὶ ἐχρήσαντο τοῖς προδοῦσ' ἄλλοις.
Νεύει στράταρχος τῇ προεκθέσει ῥήτρης,
Καὶ τετράφαται ἄψ πρόβουλοι ἐς πλοῖον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παῦροί τε ᾧ ἔμβαινον ἐκ συννημένων,
Ὁμοῦ δ' ἔγνωτο καὶ ἀπερρήθη τάδε.
Παρημένους γὰρ βούλεται λελημμένους,
Φεῦξις δ' ἀναῤῥήσκοις οἷς προὔπεφθάκει,
Νάξῳ τ' ἐνωρμίσθησαν ὡς κρυσφυγέτῳ,
Λοιποὺς δ' ἀνηγόρευεν ἀνθαιρομένους
Αὐτοῦ μένειν ἔτας μὲν ἀλλ' οὗτοι δμῶας,
Ἀμφ' αὐτὸν ἴσχειν προσφιλεῖς γανυμένους.
Δόλοι δὲ ἦν μείλιχα κἀπάτης πλέα,
Καὶ ἀνθ' ἑταίρων ἐς δμόων τάττων μοῖραν,
Δεσμώτας οὓς προὔπεμπεν ἐς πύλας Βύζης.
Ἥκιστα ταῦτ' ἀντήχει ἐν πολιτείῃ,
Καὶ οἱ θάλειοι ἀμφ' ἀοιδῶν Λαζάρου,
Στυγνοὶ ἀλυδμαίνουσι δυστήνου θρόου.
Ἄριστα δ' ἐσκέπτοντο ὡς δέμας μέγα,
Κἂν ἄκρον ᾖ διῆκον εἰς εὐεξίης,
Ἢν ἠτόνησεν ἢ ἀμαλδύνῃ κάρη,
Χρεὼν σφαδάζειν, καὶ ἀτάκτως σφάλλεσθαι.
Ὡς γοῦν ἀνασφήλαντα εἴδωσι στόλον,
Ὃ ἴφθιμόν τε καὶ βριθὺ εἴη κάρη,
Πλείστους μὲν ἠρέτιζον ἐς στολαρχίην.
Φραγκῖσκος ἔμπης Μαυροκῆνος, κἂν ἀπὼν
Καὶ οἷά τις θυραῖος ἔκτοθεν πάτρης
Εἴγ' εἰκοσαέτηρον ἔτλη δουλίην,
Διηνεκῶς εὔφημα λατρεύσας στόλῳ,
Χρηστός τε δειχθεὶς εἰς ὑπατείην τήνδε,
Ψήφους ἑαυτῷ νήνε' ἐξ ὁμοφρόνων.
Ὑμεῖς δ' οἱ ἀγγείλαντες εὐέρκτην μέγαν'
Ἐπεὶ ἀναῤῥηθέντι ᾧ συνησθέντες,
Κῆρ ἐμπαθέστατ' αἶθον ἐνδεδείχατε,
Κρότων ἀλαλάγμασι κἀμφιφασμάτων,
Ἐκ πυρτέχνων κάλλιστα συσκευασθέντων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τόνδ' οὖν ἀνηγόρευον ἐς στολαρχίην,
Αὐτοῖς δ' ἀλιτροῖς βλεμμέαινον ἐς τίσιν,
Καὶ προσκαλοῦντο ἐς δίκην δεκαρχίης,
Ὡς φατίσωσιν αἴτιον μολυσμάτων,
Λαυρήδανόν τε Κονταρῆνόν τε πρόμους,
Λεύκοφρυν ἐλλείψαντας αἰσχρῶς κἀλόγως.
Ἁμαρτάδος δ' ἧς τῷ συνίστορας εἶναι,
Κἀς ἀλλοδαπὰς δυσκλεῶς πλανωμένους,
Ἀπατρίους δήμευον οἰκισμοῦ πάτρης,
Κἀπηγόρευον συνδιαιτᾶν ποι κράτους.
Ῥηνήριος δ' ὑπεῖκε προσκεκλημένοις,
Πειθήνιός τε προσβιβάζεται δίκῃ,
Ὅρρ' ἁγνίσῃ ἑαυτὸν ἐγκεκλημένων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ Κ'.

Ὡς μὴ δ' ἀτημέλητα τἀμὰ χωρεῖοι,
Ὑπατικῶν μάλιστα οἰκουρημάτων,
Δυοῖν ὁμαίμοιν Ἰακώβου κτανθέντος,
Νέα δι' οὗ ἔξαρξις οἴκου Βαρβάρων,
Διώνυμον προὔπεμπον ἀνθυπατεῦσαι,
Ἡγήτορα πρὶν φῦντα, Λουκᾶν Φραγκίσκον.
Ὀπωρινὴ δ' ἦν ὥρα, καὶ στολαρχεύων
Τόνδ' εἷα Κρητόφροντιν, αὐτῷ δὲ στόλου
Ἀπαρτίης μέμηλε καὶ συνταγμάτων.
Φοίβου δ' ἔτι στείχοντος ἀμφ' ὑδροχόον,
Καὶ τῶν ὅλων στόλου τε ἐξηρτημένων,
Ὀργᾷ ἐς ἔκπλουν πρωϊαίτερον τῶν πρίν,
Ἔξωρος εἶγ' ἔνυττεν ἐκ Βύζης ἄλλος,
Καὶ προσκαλεῖτο Μαυροκῆνον οἷά περ.
Ἔθος γὰρ ἀνέκαθεν ἀρχοῖς Ὀτμάνοις,
Πρὸ Ηλιάδων ἀντολῶν μὴ στρατεύειν,
Μήτε προπέμπειν τῆς Προποντίδος στόλον,
Καίτοι γ' ἐπιστῇ οἷς ἀνάγκη σφοδρά περ.
Ὁ νῦν δ', ἐχῖνος οἷα αἰσθεὶς χαλκίων
Ἐκ πλαταγῆς κόναβον, ἐκδιδοῖ οὖας,
Καὶ ἠκροᾶτο πρὸς βορειαῖαν μοῖραν
Στρατευμάτων φρυαγμὸν ἐκ χαλκοκρότων.
Πετανύσας γὰρ κοίρανος Μοσκωβίης
Οὗ ἀετοῦ πτέρυγας ἄχρι Δακίης,
Καθῆλξε ῥᾷστα ᾧ κράτει ἐνοικοῦντας,
Οἳ κἀπέτινον ἀσμενέστατα φόρους,
Ἐνδείκνυόν τ' ἔχθιστα ἔργ' ἀξυμβάντων,
Ὡς μηκέτ' εὐπείθειαν Ὀτμάνοις νέμειν.
Τοιαῦτα δεινὰ Μεχμετῆϊον φρονεῖ,
Καὶ σχετλίαζε παλινωδίην αἴσης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

« Σὺ ἠγγύας δὴ Ἰμβραΐμῳ πατρί μοι,
» Καὶ ἐτράνου πρόσκτησιν εὔληπτον Κρήτης.
» Ἐπὰν δ' ἐγὼ παῖς καὶ ἀπάτωρ ηὐξήνθην,
» Καὶ ἀμφέποντες εἴκαθον κῆδος κράτους
» Ἔμοιγε δὴ ἀρμόττον, αἵματος νόμῳ,
» Καὶ σκέψις ἦν μοι Κρητομήτορα πέρσαι,
» Συερδνὸν κατεβρόντησας ἐκ βορρᾶ δοῦπον,
» Ἀρειὰν ἀγγέλλοντα οὐλοοῦ μόθου,
» Ὥστε σθένειν με οὐδὲν ὢν ὑπεσχέθης
» Ἐμῷ τεκόντι, οἷς τ' ἐγὼ προειλόμην.
» Ἐπάρατ' αἶσα ἡ δυσηλάκατός μοι,
» Ἐναντιοῦ δή! ἀλλ' ἀκούσης σοῖό τε,
» Ἐγὼ μὲν ἐνδείξηας ἔνθα ἠδ' ἔνθα,
» Οὐ τῶν πρὶν ἥττω, ἐμφανεστάτας ἔρζω.
Ἐρεμψιμοίρει καὶ ἀπηῦδα νηΐοις,
Ὡς ἀντέχεσθαι γηΐνοις ἐκεκρίκει.
Εἰ γὰρ μόθος πάφλαζε τοῖς πέρασί που
Κράτους, ἀτιστέος τε κἀμελητέος.
Ἐπεὶ δ' ἀνάσσῃ γειτνιᾶν ἐχρῆν πόλει,
Κἀπὶ ξυροῦ τὰ πάντα ἧς λωβουμένης,
Κῆδος τόδ' οἱ μέμηλεν οἷς ἐνεστῶσι,
Κἀνωρίαζεν οἷς ἔδει ἀπεργάσθαι
Ὧν περ πατὴρ ὑπῆρξε πρός μ' ἐπισκήψας.
Προΰπεμπε γοῦν στόλαρχον ἐκτὸς Βοσπόρου,
Ἀποστολήων σὺν τριήρεσι τρισὶ
Πρὸς δὶς δέκα, σφοδροῦ περ ἀκμῇ χειμῶνος,
Ὡς ναυμάχων ἔργων μὲν ἐκκεκλιμένος.
Στρατὸν δ' ὃς ἄξας μυριάδων δὶς δέκα
Ἐς Ἀδριανοῦ συγκαθίσταται πόλιν,
Καραδοκήσων ποῖ φρυαγμὸς παπταίνει.
Καὶ Μαυροκῆνας ποντίοις ἀντιφθέγγων
Ἀπῆντα οἷον, προσκαλοῦντι δ' ἀσκόπῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λέσβος γὰρ ἦν αὐτοῦι ἄμπαυμα πρῶτον,
Ἴος δὲ τοῦδε φυξιλίμενος νῆσος.
Ὃς δ' ἐλλιμενίζων ἐῆν ἀφροντίστως,
Ὁ δ' αὖ σφαδάζον κῆρ συνίσχων πρὸς πάλην,
Οὐκ ἠρέμει ἄφροντις, ἀλλ' αἴρει πρόφρων,
Ἐς Κάρπαθον δ' ἔτεινεν, ἔνθεν δ' εἰς Χάλκην,
Ἐπικρανῶν μὲν ὅσσ' ἔδοξε βουλείη.
Ἀτὰρ θύελλα πέριξ ἀήτου ῥαγδαίου,
Μεταρσιωθὲν λαῖτμ' ἀλὸς καταστείχειν,
Καὶ νιφετὸς ξύμπραττε μείζονα ζάλην,
Ἁλὸς συναρθείσης μὲν ἠέρ' ὀχλώδει,
Ὄρφνη δ' ἔγεντο, ἠέρος πυκνουμένου,
Ὡς μὴ περισκοπεῖσθαι ἄλληλα σκάφη.
Τοὐθεἰνεκεν στόλαρχος ἄψας πυρφόρα,
Αἰνίττεται πρόπασι μὴ ὁμαρτέειν,
Ἀλλ' ἦ δύναιτο συγκαλυφθῆναι πᾶς τις·
Ἀερσιβάτης δ' ὅς γε εἰσβαίνει ὅρμον
Ἀστυπαλαίας σὺν τριήρεσι πλείω.
Τῇ γὰρ πρόπτου πέντε συμπαρωμάρτουν,
Ἃς λαῖτμα μανὲν ὦσεν ὅρμῳ Καρπάθου,
Καὶ τρεῖς τε ἄλλας ἐσκεδάννυσ' ἐς Χάλκην·
Ἡ ταμίου δὲ εἰς Σέριφον ὠσθεῖσα,
Πανυχὶ τῇδ' ἔκρουε καὶ κατερράγη,
Τῶν πλειόνων μὲν νησίδ' ἐξενευσάντων,
Μόνος δὲ Βηνέδικτος, ἠδ' ὅμαιμός τε,
Χ' ἁτέρα σὺν νόθοισιν ὁλκάδ' ἐμβάντες,
Εὐέλπιδες μὲν ἀσφαλεστέρου φάους
Κλύδωνι δεινῷ δύσποτμοι κυλινδοῦντο,
Καὶ ὁλκὰς οἷς ξύμβαινε κιστὶς ὀρφνώδης,
Βένθος δὲ πόντου νεκροδέγμων ἀΐδης.
Αὐτὴ δὲ Λόγκου, οὖσα τῶν παλαιγόνων,
Ἐπεισπεσοῦσα τῇ προόπτου ὡς λάβρως,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐρρωγέ που τῆς στείρας αὔτανδρος δῦσα·
Ἡ Βικιμάνου μέντοι ἐκ Κυδωνίης,
Καὶ Κουϊρίνου Ἰακώβου θρεπτοῦ μοι,
Ἄμφω ἀδερκεῖς ἠφανίσθησαν πάμπαν,
Λόγος δ' ἐτεθρύλλητο οὐθεὶς ὢν πέρι.
Μνήμη μόνη μοι ἀξιωχρέων παίδων,
Μόθου ἀπ' ἄκρης δύσφορα τετληκότων.
Διαδρομὴ δὲ ἥτε πεντηκοντόρων
Ἧττον πέπωκε φαρμάκου φρικτῆς ζάλης·
Σεσώφασται γὰρ ἔξ σποράδην πρὸς νήσους,
Ἵν' ὠπίπευον λαίλαπος δεινὴν λύσσαν.
Μία δ' ἀκοντισθεῖσα ἐς Πάνορμόν μοι,
Κάπελλος ἥ ἐφίστα, ὢν νεανίσκος
Βαιόν τι νηΐοισιν ἐξησκημένος,
Πρὸς φρουρὰν ὦλε, λάεσ' ἀντικρουσθεῖσα·
Ναυαγίη δὲ ἄγχυ οὖσα φρουρίου,
Οὐκ ὠνίνησε μηδαμῆ ἀναρσίους·
Ἀλλ' εἰς ἓν ἀθροισθέντα χρηστὰ κερμάτων,
Πυρέκβολοί τε καὶ τοπεῖα ἠδ' ὅπλα,
Μετηρέθη εἰς φρουρὰν εὖ νενημένα,
Οἵ τ' ἐμπλέοντες προστάτης τ' ἀποδράντες
Ζάλην τοσήνδε, συγκομίζονται τῇδε.
Ἀλλ' ὡς ἐγῷμαι τῶν τυχηρῶν οὐ τάδε,
Θεοῦ ἀτὰρ μηνιθμὸς ἀμφ' ἀλιτρίαις.
Αἰσθεὶς ἐπεὶ στόλαρχος ὡδὶ χρῆμ' ἔχειν
Ἱκτήριον δέραιον, ἀμφάψας σκαιᾷ
Ἀμπίσχεται λιτός τις εὔωνον ῥάκος,
Γονούμενός τε ἐξιλάσκεται θεῖον.
Ἱκτῆρι γοῦν ἔωξεν αἰθὴρ αἰθρίαν,
Στοιχεῖα λειπότακτα ἤτει οὓς ὅρους,
Καὶτὸν προῆγον ἀσινῆ ἐς λιμένα,
Ἱστοῦ ἄνευθεν, ἠδ' ἰθύνοντος γόμφου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αὖτῶν τ' ἐρετμῶν ναῦς πτερούντων βριθεῖς περ.
Πρόσκειτο δ' ὃς πρὸς θεῖον ὠφθεὶς εὐγνώμων,
Καὶ εὐχάριστον ἐγγυᾶτο καρδίην,
Μνήμης ἀλήστου, ἤματος διακρίτου.
Ἀνάρσιοι ἐν τοῖσδε ἠγνόουν εὔνουν
Οὐρανιώνων, πρὸς στόλον τετραμμένων
Ἐκ μηνιθμοῦ δι' οἶκτον ὁπποίου τοῦδε·
Ὤοντο γάρ κεν τὴν διαμπὰξ ἢν λώβην.
Ὥρμηντο δ' ἔνθεν ὑψίκομπαι τὴν πρός με,
Ὡσεὶ ἀφαιρεθεῖσαν ἄλκαρ ἐκ πόντου.
Μέντοι γε Μαυροκῆνος ὢν ἀπαρτίτας
Θυελλόπληκτον ἦν θοὴν στρατηγίδα,
Ἔξεισιν ἔνθεν καὶ ὑπήντ' ἀναρσίοις,
Λοιπῶν μετασταλέντι τῷ δ' ὑπεικόντων,
Πρὸς γειτνιούσας συγκαλυφθέντων νήσους.
Αὐτοὶ δὲ πρὸς Κάρυστον ἔστρεφον πρῶραν,
Καὶ νὺξ ἐπεξέτεινε πέπλον ὀρφναῖον
Πρὸ ὀμμάτων διώκτου, οὓς δ' ἀφανίζει.
Μεθ' ὑστεραίαν δ' αὖτε ἐκκαλύπτει που,
Ὁ δ' αὖ ἔσευε, κἀδίωκεν ἐντόνως,
Ἀλλ' ἐγχέλυες οἷα δράττουσαν χεῖρα,
Ὡς εἰς ὀπὴν ἀπέδραν ὅρμῳ Μηλίων.
Ὧ δ' οὐ μέμηλε τῆς ἐπείξεως ὕπερ,
Ἦν γὰρ κενὴ πάνυ γε οὔτ' ἄλκαρ φέρον.
Μόνον δ' ὀπωσοῦν Κουσαῖνον τοὐντεῦθεν,
Ἔνταλμα ἴσχον ῥίμφα πως ἐξφκίσαι.
Ἀλεύετο πρὶν γάρ κε πολλὰ κλητευθείς,
Προϊσχεθεὶς ἀεί τι εὐχρώου μύνης.
Καὶ χρῶντο τεχνάσματι δεξιῷ τῷδε·
Τριήρεα ἔμβαινεν ἐς θοωτέραν,
Αὐτὸς τριηράρχης μέν, ὁστισοῦν εἴη,
Κατῆντα δ' αἶψα ἐς Παλαίκαστρον τοὐμόν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νυκτὸς δέ, ὡς μὴ εἴη ἐμφανὴς ἐμοί.
Αἰσθεὶς δὲ Κουσαῖνος ἔσχ' ἐπισπαστόν
Τῇ ὑστεραίᾳ προσμένων ἐν σκηναῖσι.
Πρόπεμπε δ' ὅς γε, ὡς ἐφετμὴ κοιράνου,
Σκηνῶν καταίρειν αὐτὸν ἐς τριήρην δε,
Καὶ ἀκροᾶσθαι ἐντολῶν ἀποκρύφων.
Κἀδείκνυ χρυσόσημα τῶν ἐνταλμάτων,
Αὐτὸς δ' ὑπεῖκε καὶ συνὼν τριηράρχῃ,
Οὐθὲν μυεῖται, δείκνυται δὲ ναυάτης,
Καὶ συνοχεῖται ἐς Κυδωνίαν ἄκων,
Κἀντεῦθεν ἔπλει ταῖσι λοιπαῖς ἐς Χίον.
Οὗ τούςδ' ἔμιμν' ἔνταλμα ἐκ πυλῶν Βύζης,
Δηλοῦν στόλαρχον Κουσαῖνον προσπαίως.
Ἠρκεῖτο δ' ὅς γε ἀξίῃ τῇδ' ὀππόσῃ,
Κἂν ἐνδεεστέρῃ τε ὢν δὴ καρποῦτο,
Καὶ ἧς ἀνηγόρευτο δηρὸν Κρητάναξ.
Ἐδεῖτο πλὴν ἄνακτος, ἣν οἱ ἀνδάνῃ,
Παλίντροπον τόνδ' αὐτὸν εἰσδέχθαι Κρήτην,
Ὃ γ' ἐκτίσουσαν τοῦδ' ὅ,τ' οἰκεῖαν σχέθει.
Νεύσαντος οὗπερ ἵκται, ἅλοχον δ' αἴρει,
Παῖδας, νομισμάτων τε πλῆθὺν νηρίθμων,
Τούς τ' ἐν μόθῳ τοιῷδε οἱ κατασχέτους,
Ἐν οἷς συνηριθμεῖτο παῖς ἀνθυπάτου,
Κατασχεθεὶς καὐτός τε Γορτύνης πέδῳ.
Διώνυμος δέ, οἰκετείας Δελφίνων,
Μάρκος δ' ὃς Ἀντώνιος Αὐσόνων ἔθει.
Ἦν δ' ἄχρους τοῦδ' ἄχρι λυγρᾶς ἐκ νόσου,
Ἐπείπερ ἀβρὸς ἐκ γενέθλης ζαχρύσου,
Καὶ ἠτόνει κάθειρξιν ὀρφναίαν φέρειν·
Ὑγρὸν γὰρ ἀνιμασθὲν εἰρκτῆς δαπέδου,
Συνισχεθὲν τείχεσσι μὴ διαπνέον,
Χλοηρὰ ταῦτ' ἐδείκνυ ἐγκεχρωσμένα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοιόσδ' ἀὴρ εἰσπνεῖτο ἁπαλαῖς στέρνοις,
Καὶ κρᾶτα ὑγρὸν ἢ ἐχρῆν κατεργάσθη,
Ὡς φλέγμα ᾧδ' οἰδαῖον ἐκ πλημμυρίης
Καταῤῥέειν στέρνοισιν ἐμπυούμενον,
Πράττει κακῶς δὲ τόνδε, βηχὸς ὀχλούσης.
Μαιμᾷ δὲ ἦν ζωαρκὲς ἄλθος ἧς νόσου,
Καὶ δίζεται δόκησιν ἐκ Κυδωνίης,
Παύλου ἰατροῦ, οἰκετείης Σταΐων·
Φοιτᾷ δ' ὃς ἔνθεν ἐς Ῥιθύμνην ἀσμένως,
Κἀπεισκοπεῖ νοσοῦντα ὡς εἶχ' εἰργμένον.
Παρμύθιον δ' οἱ οὐ δίδωσι μοχθοῦντι,
Ῥητῶς φθίσιν δὲ τοὐνοχλοῦν τρανοῖ πάθος·
Καὶ καλλιπὼν ἄελπτον ἄλθους παντοίου,
Σκηναῖσιν ἵκται δεγμέναις κακῶν μάντιν,
Ὡ; Κουσαίνῳ στυγερὰν δόξαι φάσιν.
Οὐ γὰρ προσῆκον κοιράνῳ δορυκτήτους,
Καὶ μᾶλλον ὃν κέκασεν ἄρθονος φύσις
Φαιδρᾷ γενέθλῃ κυδίμων ἀνθυπάτων,
Βίου ἀγῶνι ἐκ κακουχίης πίπτειν·
Ὅτου τυχὸν κάθεξις ἄρκιος πάντων,
Ἐς κτῆσιν ἧς πόλησς, ἢν μόθου μέτροις
Μαρνάμενοι φέριστα ὀκτώ που ἔτη
Δεινὸν κρατῆσαι, κἂν δ' ἄποινον εἰργμένου.
Χ' ὑπηγόρευε δύσφορον νεηνίσκου
Νόσον πρὸς ἀνθύπατον ἐκ Κορνηλίων,
Ἀζυμίοις γράμμασι μηνύων τάδε·
» Προανθυπατεύσαντος ἱμερτὸς γόνος,
» Ἡμῖν δὲ δουρύκτητος, ὑσμίνης νόμῳ,
» Νόσον νοσεῖ βαρεῖαν ἐκ δυσαλθήτων,
» Ὡς τοῖς παρ' ἡμῖν δόξε τῶν ἀκεστόρων.
» Ἢν αὐτόθ' εὐφημεῖται ἀμφὶ ἰάσεις
» Ἴστωρ τις ἄλλος, τόνδ' ἴαλλε ὠκέως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Παθῶν γὰρ ἀρχὰς ῥᾷον ἀρχῇ τ' ἀλθαίνειν,
» Ἀτὰρ τελευτὴν ἔστι πως πτερυτίζειν.
Οἷς Ἀνδρέας γράμμασι κἦρ ἐνημένος,
Τῇ γ' εὐσεβείᾳ μᾶλλον ἀστὸν πρὸς τόσον,
Μετασταλεὶς γραφῆα συγγραφῆς τῆσδε,
Τούτου πέπυσται εἰ κατὰ χρῶτ' εὐέκτης,
Καὶ ἦν ταμεῖν οἷός τε τὴν πρὸς Ῥιθύμνην.
Αὐτὸς δ' ἐπειδὼν τίς λατρείη πρὸς κρείττους,
Ἀμνημονῶν γήρως τε κἄχθους ὀστέων,
Προὔτεινʼ ἑαυτὸν προφρόνως ἀνθυπάτῳ,
Ὃς δ' ἐξέπεμπε τοῖς παρεγγυωμένοις.
Κἂν Κουσαῖνος δέκτο, ἐντίμως μάλα,
Καὶ ἠγγύα προσόντι οὐ τυχὸν γέρας,
Ἤν αὐτὸς εὑρετής τις ἄλθους ἧς νόσου,
Ἐγὼ γὰρ εὔνους πρὸς νεηνίσκον, φήσας,
Λόγῳ πατρὸς πρὸς παῖδα τῶν ἐπηράτων,
Μουσουλμάνης περ, καὐτὸς εἷς χριστωνύμων.
Τέως παρήνει ἣν ἐπιγνοίη νόσον,
Τῶν ἐξ ἀέλπτου ὡς ἀνενδέκτων ἄκους,
Σχέσθαι ὅπως δὴ τοὐπιχειρεῖν ἰάσεις·
Εἰ γὰρ τυχὸν θάνοιτο τῇδ' ὑπουργίᾳ
Ἰατρὸν εἴργειν ὕμνὺ ἀντὶ φθιμένου.
Προωδοποίει δ' ᾗγε εἴλην ἱππέων,
Ἐκ Κιαούσων καὶ νεηλύδων δέκα,
Αὐτὸς δ' ἐν οἷς πόμπευεν εὐοδουμένοις.
Ὃν πρότριτα δέδεκτο μιμνάζων πρόμος,
Φιλοφρόνως μὲν οἷσι πρὸς γνωτὸν μέτροις.
Διδοῖ δ' ἐπισκέπτεσθαι ἠσθενηκότα
Δὶς ἥματος, συρέντα εἱρκτῆς ὀρφναίου.
Ἐπιτρέπει δ' οἱ Κουσαΐνῳ ἀμφέρειν
Γράμμασιν, εἰ νόσημα τῶν εὐϊάτων.
Ἀντίκρισις δ' ἦν ὡς καθαυτά τοιόνδε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἱρκτῆς τὸ χρῆμα ἦν μὴ εἴη τἀδικοῦν.
Αὐτὴ γὰρ ἡ τέξασα κἄλθουσα πάθος,
Ἥ γ' ἦν ἐπεκτείνοιτο δηρὸν ὀχλοῦσα,
Φθίσις τὸ ἑξῆς ἐκ καταπτώτου πρώτου,
Ἦ πως ἀλάλκον οὐκ ἐφεύρηται ἄλθος.
Ταῦτ' ἠκροᾶτο Κουσαῖνος διχόφρων·
Ἰμέρεται γὰρ ῥώσεως νεανίσκου,
Ἀρέσκεται δ' οὐ ἀνέσει ἐρεγμένου.
Συνίσχε δ' οὐ τοιῶσδε ἀρχῇ ζωγρίης,
Φιλοφρονῶν μὲν προσδιαιτήσει κρείττῳ,
Νῦν δ' ὃν κατίσχεν ἡνιαθεὶς ὧδέπως.
Ἦν εἰσέτ' εὐσέβεια τοῖσι κωμήταις,
Ἄλλοις τε προκρίτοισιν ἐνδομυχοῦσα,
Ἀλλ' ἐξ ἀρητήρων τίς Ἀλεξανδρῖνος,
Ἡγούμενός τε Ἀρσάνου Ἰώσηπος,
Καὶ ἐκ Βεβέλλων οἴκου Ἐμμανουὴλος,
Ἀνταρσίην σκέπτοντο ἐκ συνωμοτῶν,
Ὧν δὴ συνηθροίζοντο μυριαστή τις.
Ἰῷ δὲ Κουσαῖνον οἴονται πρῶτον
Μάρψαι, ἐν ἄρτοις κυκλικοῖς πεφυρμένῳ,
Καὶ γράδιόν τι ἐν κάνητι φορτίζον,
Οὗ γράμμα κεκρύφασιν ἐν πτύχαις κόλπου
Δηλοῦν σκοπὸν σφῶν κρύφα Δελφινιδίῳ.
Σκηναῖσι δ' ἵκται δῶρον οἷά περ φέρον,
Ὡς ἐκ μονῆς μὲν εὐμενοῦς τῆς Ἀρσάνου,
Σέβει τε Κουσαῖνον ὡς αἰδημόνως.
Πρόσοιμα προσπτύσσοντο οἱ ἀμφ' ἀρχεῖον,
Αὐτοῖς τε ἡβρύνοντο κυκλικοῖς ἄρτοις,
Μαστῶν ἀτὰρ πτύχαισιν ἀθροῦντες χάρτην,
Προσηγανάκτουν τοῖς δόλῳ ὑφασθεῖσι,
Καὶ ἐγγύθι γραῦς προστάτου προηγμένη,
Ἀναίνεται σύνθημα ἤν τι ἂν εἴη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παρεγγυημένον δὴ οἷς συνωμόταις·
Ποιεῖ δ' ἐλεγμὸν πεῖρα ἀντεργασθεῖσα·
Κύων γὰρ ἄρτον ἐς ῥέθος δ' ἐρριμμένον
Φαγὼν ἄφνω τε οἰδέων κατερράγη.
Ὡς Κουσαΐνον κουλεοῦ σπάσαι ἄορ,
Καὶ οὐτάσαι πρέσβειαν ἐγκεκυφυῖαν,
Δορυφόρους παίειν τε ἐν μεταφρένῳ
Ξιφιδίοισιν ἄχρ' αὐτῆς ὑστάτης.
Συνίσχε δ' αἴφνης στασιαστὰς αὐτῆμαρ,
Τῷ μὲν Βεβέλλῳ, εὐαγεῖ τ' Ἰωσήπῳ
Ταμὼν κάρηνα, ὠβέλιζεν ὡς πλείστους.
Δελφίνιον δ' εἴργνυεν ὡς ἀκηδέστως,
Ὡς συμπεσεῖν οἴκτιστα δυσλύτῳ νόσῳ.
Νῦν οὖν ἀνασφήλαντα ἐκ κακουχίης
Συνῆγε λοιποῖς, οἷά περ θριαμβεύων.
Ὤκιστα γοῦν κατῆντα ἐντὸς Βοσπόρου,
Πῇ μὲν προκληθεὶς ἐξ ἐφετμῆς κοιράνου,
Πῇ δ' ἐντρέχειαν Μαυροκήνου δειμαίνων,
Ἰχνηλατοῦντος δοχμιόπλοα στίβῃ,
Ἀμειβαδὸν στείχοντος ἐκ βορηΐων
Πρὸς τὰς νοτίους Κυκλάδων κἀναλλάγδην,
Λαγῶν ἄνισα ἴχνη ἐκμιμουμένου.
Ὕπουλος ἔμπης ἡ πρόκλησις τοιάδε,
Καὶ ἀξίωμ' ἐφῶρα ἀνδρὸς ἐς λύμην.
Ἥκοντι γάρ κεν ῥηγμίνι Προικονήσου,
Ἰδού τ' ἐφετμὴ ἐκ πυλῶν ἀνακτόρου,
Ἄγειν Ῥοδοστὸν ἐς πόλισμ' ὃν κατάπλουν.
Ὑπεῖκ' ἐφετμῇ, κἀξεφόρτιζ' οὐσίας
Ὡς μυριάδας δὶς ἑκατὸν χρυσίων,
Μέντοι λέληθ' ἑαυτὸν ἐστερημένον
Καὶ τῶνδε, κἀξίης τε, καὐτοῦ βιότου.
Πρωΐην ἐπεὶ πάρεδρος ἐξ ἀνακτόρου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κᾀσχετλίαζε Κουσαΐνον φαυλίζων,
Ἄχρηστον ὡς ἐκβάντα δήρεως σκευαῖς,
Ἀνειμένον μάλιστα λυγροῦ ἐκ γήρους,
Καὶ δημίῳ ἔνευε κρᾶτα οἱ αἴρειν.
Αὐτός δ' ἄνεισιν ἐς πύλας ἀνακτόρου,
Τρὶς μυριάδων τόσας ἐκ χρυσοῦ ἄγων,
Λοιπῶν ἐκείνου ἀθρόως δημευθέντων.
Ἐκτὸς δὲ Μαυροκῆνος εἰδὼς ξυμβάντα,
Χ' ὡς οὐκ ἔτ' ἰχνεύσειας ἐνδιδοῖ ὥρα,
Κάτεισιν ἔνθεν Κυκλάδας μεταστείχων,
Κατήντα δ' ἐς Κυθήραν οἷα χειμάσων,
Ἄγων Ἰωάννικον ἐκ Σύφνου νήσου,
Ὃς ἀρχιποίμην χρηματίσας ἐν Βύζῃ,
Ἔνθεν πέφευγεν Ὀτμάνων τυραννίδα,
Γαληνιᾷ δ' εὔχρηστα ὡς κρυσφηγέτῳ
Ὑπὸ πτεροῖς λέοντος ἐγκαλυμμένος·
Καὶ ἴδατ' αὐτοὶ οἷς κράτοις προπομπῇ τε
Στόλαρχος ὃν γέραιρεν ᾧδ ἀφιγμένον,
Κᾀγώ τε οἰώνισμαι ἥλυσιν τοῦδε,
Πεφυκέναι μόρσιμον αἷς τρικυμίαις,
Ὡς τὴν Ἰωνᾶ θέσπιος πόλει Νίνου.
Νῦν ἀλλά γε κρείττω τε ἐκ κράτων γέρα,
Καὶ προὐκάθιζ' ἑαυτῷ ἐν διαίτῃσιν,
Αὐτοῖς τιμῶν μέτροισιν, ἣν ἐκ Ῥώμης,
Δέξοιτ' ἂν ἀρχιποίμεν' ἄλλον ἀκραῖον.
Μὴ ἀτρεμεῖν δ' ἔσπερχεν αἰνὸν κᾀν χεῖμα,
Ἀλλ' αἱρετίζειν ἐκ τριήρεων δέκα,
Καὶ Ταίναρόν δε ὠκέως καταπτᾶσαι,
Ὡς νῦν τ' ἔθνους ἔμπιστον αὖτε πειράσων.
Κᾀλλιμένιζε Κυτριῶν εὐρεῖ ὅρμῳ,
Ἄθροι δέ γ' ἠθροίζοντο πρόκριτοι φύτλης,
Τρισχίλιοί που πιθανοὶ στολαρχοῦντι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἷς δ᾽ δεδαψίλευτο δῶρ᾽ ἀγαυά τε,
Χρυσῶν δεκάρων κἀκ νομισμάτων πλήθους.
Οὓ γνωμάτευον, εἵνεκεν πολιτείης
Θνήσκειν προθύμως, ἤ ἂν δοίη ἡ χρεία.
Ἰδεῖν δ᾽ Ἰωάννικον οἷς ἔλδωρ μέγα,
Καὶ ἀρχιθύται χερρονήσου οἱ πλείους,
Δούλεια ἠσπάζοντο, ἄκρον οἷά περ.
Μεθ᾽ ἃ στόλαρχος ἐξιὼν στρατηγίδος,
Ὡσεὶ ἄναξ κρότοισιν οἷς εὐφημεῖτο.
Ἱροσταλῶς τε ἀρχιθύτων εἱμένων,
Λιτὰς ἀγόντων ἐς συνέργειαν θείου,
Οἶκοι νέμοντο ἐξ ἑκάτερθεν σεμνοί,
Μὴ καλλιπεῖν ἄλληλα συμφρόνων μέρη,
Ὡς εἰς ὃ ἂν στόλαρχος ἐνσταίη ἔργον,
Οὓς ἀπτέρως φέρεσθαι, εἴτ᾽ αἰνὸν τόδε.
Ἀλλ᾽ ἣν ἂν εἰσφέροιτο οἷς ἔλασίς τις
Ἐκ Βασιλίννης ἀντιβήσους᾽ ἀντάρταις,
Αὐτὸν κρατύνειν οὓς ἀρωγῇ τοῦ στόλου.
Αἷς ξυμβάσεσσιν εὐσταθέσιν εὐόρκως,
Τελεσφορήσων Μαυροκῆνος σφῶν πίστιν,
Φερὰς τὰς ἀρχαίοισι, νῦν κεκλημένας
Καλλόμματα, ἥγημα ἦν οἱ δηῶσαι.
Ἦν ἵππον οὖν συνίσχεν, ὡς ἑκατοστήν,
Τριήρεων ἐξῆξε πῖον ἐς πέδον,
Προὔπεμπε δ᾽ ἡγητῆρα, ἴδριν οἷά περ,
Γεώργιόν μοι παῖδα ἐκ Κορνηλίων.
Ἐπεὶ γὰρ εὖ μετρεῖτο ἐν πολιτείῃ,
Σταλεὶς ὕπατος ἐς Κυθήραν εἰκότως,
Τοὐντεῦθεν ἠξιοῦτο οἰακισμάτων,
Ἐμῶν ἀγήτωρ οἷα καὶ σίταρχός τε.
Ἐπεὶ δ᾽ ἔμελλε Κουταΐνος δηῶσαι
Γῆς Τηνίων πεδινὰ πρὸ πλόου Βύζης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στόλαρχος ὃν προὔπεμπεν ἀντιβήμεναι
Πρὸς ἠντινοῦν ἄπβασιν ἐς θίνας Τήνου.
Καὶ δὴ προμηθεύοντος ὡς πρὸς κωλύμην,
Ὥρμητο Κουσαῖνος εἴς που ῥηγμίνων,
Πεπείραται μέντοι γε δυσχερεστέρας
Ἀντιστάσιος, ἢ προτοῦ σφῶν ἀρχαῖοι.
Οὕτω γὰρ ἠσφάλιστο εὐσταλῶς νῆσος,
Ὡς Κουσαΐνῳ ἐμπιτνᾶν μὴ ῥᾴδιον,
Κᾆν λάβρον ᾖ ὅρμημα ῥηγμίνων ὅπου.
Κορνήλιος γὰρ πανταχῇ ἀντιπράττων,
Ἵππων ἑκατοστύϊ ἠντία σφόδρα·
Καί που παρορμήσαντι ῥιψοκινδύνως
Αὐτὸν καταπτᾶν, καὶ στολάρχου εἰς ὄπα
Καρατομῆσαι ἑπτὰ ἐκ νεηλύδων,
Παλίντροπόν τε ἄλὸς ἐκτρέψαι Τήνου.
Τοιόνδε κῦδος ἔσχεν, εὖτ' ἐπισπαστὸς
Ἦν Μαυροκήνῳ ἔνθεν εἰς Φερῶν ἄρσιν.
Καὶ δὴ προταχθεὶς ἴδρις ἱππεὺς ἡγήτωρ,
Τῇδ' ἐστράτευε καὶ ἀτάρβητος δειχθείς.
Οὐ γὰρ δεδοίκει Ὀτμάνων ὅσον κράτος,
Ἄλλως στρατοὺς νῦν τῶνδε τῇδ' ἐδειμάτου·
Φρουροὶ ἐπείπερ οἱ Φερῶν δεδοιγμένοι,
Τήν τ' ἐκστρατείαν ἐμφάνειάν τε στόλου
Πρὸς γειτνιούσης ἄλὸς ἐξαίφνης φύσης,
Κᾆν ἱππέων ἀριθμὸς ἦν δισχιλίων,
Καὶ ναιετόντων αὖ τόσοι, δρασμῷ χρῶντο,
Ἔρυμα λιμπάνοντες ἐλλειπεστέροις.
Κορνήλιος δ' εἰσήει εὔφρονι θυμῷ,
Ἐπεὶ δεδόρκει δεξιῶς πολιτείην
Ἐπικρατεῖν τοσήνδε πρὸς δυναστείην,
Ἣν ἀσθενῆ δέδειχεν εἰσβολαῖς ὅσαις.
Ἔνθεν προηγμένων γὰρ εὐζώνων στόλου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δηοῖ πόλιν, πίμπρησιν ἀγλαοὺς δόμους
Τοὺς Μεχμεϊτῶν, καὶ ἐᾷ χριστωνύμων.
Ἦν δ' ἦμαρ ἀφρῷ, ὑστεραία δὲ Κρόνου.
Ἀολλέες κατῆρον, ἦ ὥρμει στόλος,
Ταιναρίων ἄγυρις ὡσεὶ μυρίων,
Καὶ Λακεδαιμόνων τε ὡς τρισχιλίων,
Καὐτοὺς σφᾶς ᾧ πρόσοιμα παντάρχῃ φέρον,
Καὶ ἠγγυῶντο πρόφρονας δεδειχέναι,
Παντοίαν ἐς πόρθησιν ἄστεων ἄλλων,
Περαιτέρω ἢν μῆδος ἐγκατασκῆψαι,
Εἴ που τε χρειὼ ἐκ πεδεινῆς ὑσμίνης
Οὓς συγκροτεῖν μὲν ἀντιτάξηας σφοδράς.
Ἰαίνεται στόλαρχος ἀθρῶν ὧν εὔνουν,
Πίστιν τε ἀκλόνητον ἐς πολιτείην,
Καὶ χάριτας γνοὺς πατριαῖς ὁμοδρόμων,
Προσηύδα οἷον ἐν φίλοισιν ἀρθμίοις·
Καιρός, δ' ἔφη, οὗτοι γε τηλίκων ἔργων,
Εὖτ' ἐνδιδοῖ μέντοι γε εὐφρονεστέρως,
Δὴ τῆμος ἀρθμίους τε καὐπιταῤῥόθους
Ἀπαξιοῦν ἀπεικὸς ἀσμένως δέχθαι.
Τέως παρήνει ἄρτι οἴκαδ' ἐμμένειν,
Καὶ προσμένειν σύμπτωσιν ἀσφαλεστέρων.
Τανῦν δ' ἔμοιγε φροντὶς ἀντηχῶν ἔργων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ ΚΑ'.

Διῆξε φήμη γάρ κεν αὐθαδῶς βέεις
Ἐπιτροχάζειν Κυκλάδων κακεργέτας,
Φόρων ἕκατι, οὓς ἀπήτουν πρὸς βίαν.
Τάδ' οὖν ἔπειγε πρὸς δίωξιν ὀξεῖαν,
Καὶ ἦν ἐλαύνων ἄχρι Αἰγέου πόντου.
Μεταξὺ γοῦν Σάμοιο καὶ Χίου νήσοιν
Πρὸ ὀμμάτων κίχανε τετράκις δέκα
Εὔτακτα μάλα αἰπύπρυμνά τε σκάφη·
Ἦν δ' εὐδίη ἄφλοισβος, ὀργᾷ δ' ἐς μάχην,
Κᾷν ἡμίσευε τοῖσι συγκεκριμένος.
Ὡς τῆλε συμπύρευμα πεντηκοντόρων
Μὴ ἰσχυουσῶν ἐξ ἐρετμῶν συμπίπτειν.
Μακραῖσιν οὖν δίωξις ἦν σπουδαστέα.
Καὶ σεύεται πρὸ πάσας ἐντεταμένως,
Κᾷν πέντ' ἐλιννύουσαι εἵληνται δήπου,
Καὐτὸς μόνος διῆκε κἀπέκειν' ἄλλων,
Τριηρεάρχην συμπεπεισθεὶς ζωγρῆσαι.
Αὐτὸς δ' ἐπειδὼν τόνδ' ἑκὰς μονωθέντα,
Τέτραπται ἀντίπρωρος, ἵφι δ' ἠρέτμει
Λοιποῖς βέεσσι, πρὸς διώκτην ἀντωπός.
Ἀφίσταθ' ὁρμῆς ὅς γε, κἤχῳ πυρβρόντῳ
Τέκμαιρεν οἷς κοινῶσι χρῆμα κινδύνου,
Ἐᾷν ἀγρεύσεις κἀμφιπυτνεῖν παντάρχᾳ,
Ὡς εἰς ἀρωγὴν καὶ ἄμυναν ὠκεῖαν.
Προήσθετο σκάφαρχος ὡς ἀργαλέον
Αὐτοῖς μάχεσθαι, οἷς πεπαίδευκε πλεῖστα
Ὀλεθρόμυθος πεῖρα συμπλοκῶν ἄλλων,
Ἐκ δυσκαθέκτων προσδοκημένας μείζους,
Ἣν σφίσι προσδέξοιντο ναυμαχεῖν νέον.
Ἄψ γοῦν τραπέντα, ὡς διώκτου ἐκκλίνῃ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅς γ' ἐντόνως ἔσευεν, ὀψέ δ' ἥματος
Δυοῖν καταπτὰς μάρψεν αὔτανδρον μίαν,
Ἣν εἶδατ' αὐτοὶ ὧδέ μοι πεπαρμένην,
Καὶ θατέραν πίμπρησι ῥηγμῖσιν Σάμου,
Λοιπῶν ὀπὰς γῆς εἰσδυσῶν, μυῶν δίκην
Σύμπτωσιν ᾗ αἴσθοιντο δεινοῦ αἰλούρου.
Ἐπεὶ δ' ὃς ἡμάρτηκεν ἄγρας ὡς ἔλδωρ,
Δετὸν σκάφαρχον ἐς πάτρην θριαμβεύσων,
Ἔνθεν τέτραπται καινὰς ἐς δηώσεις.
Καὶ πλεύσας ἐς Δῆλόν δε τιτθὸν δηθύνει,
Βουλὴν δ' ἀγείρει ἔνθα ἐκ πρώμων στόλου,
Αὐτὸς δὲ ὑπέρκυπτεν, οἷα παντάρχας,
Ἀπόπροθεν ἥμενος φαιδρῷ θώκῳ.
Ἀλλ' ἄγχ' ἑαυτοῦ ἱζάνει Οὐϊλλανόβαν
Μαρκίονα κλεινόν, οἷα στρατάρχην,
Γόνον φαεινὸν φῦντα Γάλλων Ναρβαίων,
Καὶ θρέμμ' ἄρηος δηΐου πεφασμένον.
Ἐκ παιδὸς εἴπερ τερπνὰ λιπὼν πατρῷα,
Γυμνασίοις δίδωσιν ἑαυτὸν δηΐοις.
Καὐτοκράτωρ γέραιρεν οὕνεκ' ἀρχαίας
Φύτλης διαυγοῦς, μείρακός τ' εὐτολμίης,
Οὗ ὧδέ πως ἔστιλβεν ἀρετῆς σέλας,
Γερμανικοῖσιν ἐγχρονίζοντος δόμοις
Ἐς τρὶς δέκα πλειῶσιν, ἄκραις ἀξίαις
Κεκασμένου ὅσαισιν ἐχρῆν γενναίοις,
Ὡς μὴ λαθεῖν ἕκαθεν αὐλὰς ἀρχείων,
Ἐς ὠκεανὸν ἄχρι δυσμῶν κειμένων.
Ἄναξ γὰρ Ἀλβίωνος ἀνδρὸς ἠγάσθη,
Τοῦδ' ἀρετῆς ἔμπλειος ἐξ ἀκουσμάτων,
Καὶ ἠξίου γράμμασι μὴ ἀπαξιοῦν
Ἄνακτα τῆς τοῦδ' ἀρθμίης τετραμμένον,
Καὶ συνδιαιτήσιος ἐντετυχέναι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κάρουλος οὗτος, παῖς γεγὼς Ἰακώβου,
Ἄνασσα ὄνπερ κοίρανον Βρεττανίης
Ἀνηγόρευε πρὸ φθόρου Λισαβέτη,
Ἧς ἐμβατεύειν κλῆρος ἀρχείου τύσου.
Καὶ ὑμεναιᾷ Γαλλίης αἰσυμνήτου,
Μετὰ φθόρον φύσαντος ἐς κασιγνήτην,
Ἡ γάννυται εὔχρηστα τῆς ἀγχιστείης,
Ὥςθ' ὅ,ττι ἔλδωρ ἀνθυπουργεῖν ἀλόχῳ,
Κἂν ἀντία θρήσκευεν ὧν ὃς πατρώζων
Καλουΐνου δόγμασιν ἦν ὀπηδεύων.
Νεὼν δὲ ᾗ ἔγειρε θεσμῷ Ῥωμαίων,
Θυηπόλους δ' ἐσῆξεν Ἰησουΐτῶν,
Ἀγύρεως φραδῆας ἀγχινουστέρους.
Τοιαῦτ' ἔτικτε λυγρὸν ἔχθος συγκλήτῳ,
Καὶ δὴ ἑκατέρωθι μήχεα δόλων.
Ἐπιβρίθει γὰρ ὅς κε δασμοῖσι νέοις,
Μειοῦν δ' ἐπείγει σφῶν χαρίσδοτ' ἀρχαῖα.
Οἱ δ' ὑσμήνην ἄσπονδον ᾠοντ' ἐκκαίειν,
Ἣν σφίσι πως ἴδοιεν αὐτὸν καινίζειν,
Στρατοὶ δ' ἐπωφέλλοντο ἔνθεν ἠδ' ἔνθεν.
Ἠρκεῖτο δ' οἰκείοισιν οὐδαμῶς ἄναξ,
Ἐς Σκωτίης δ' ἀρχεῖον ἵκετο πρόσφυξ,
Νήσου ἰδρυγθὲν ἀρκτικωτέρᾳ μοίρᾳ.
Δέχθαι ὧν ἐπλάττοντο οἱ Ἐδινβούργου,
Σφῶν οἱ ἄνακτα οἷα καὶ ἰθαγενῆ,
Πεφασμένως μὲν ἀσμενέστατ' ἐν πᾶσιν,
Ἀλλ' ἐνδομύχως μηχανεύοντες δάλους,
Ὡς γάρ κε χαρίσαιντο Λονδινιεῖοις.
Οὐχ' ὅττ' ἀρωγῆς ἠξίουν τόνδ' οὐδόλως,
Ἀλλ' ἐτρέποντο ἀσφαλῶς ἐεργμένον.
Οἱ δ' ὡς ἐέλδωρ δέγμενοι βαρυθύμως,
Καθειργνύουσιν ὁρκάνην ἐς ὁρμαίην,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μορφῶν δίκας νέμοντες εὐθεστέρας,
Ἡ δῆμος Ἀθήνῃσι σεπτῷ Σωκράτει.
Καὶ εἴγε οἱ τίμημα ἦν ἂν φαρμάκου,
Ἴσως ἀνεκτὸν τοῖσιν οἰκτοκινήτοις.
Ἐπὶ δρυφάκτου μέντοι αἰπυσκευάστου
Τόνδ' ἐκθεατρίζουσι πρόσθ' ἀνακτόρου,
Κόρσην δ' ἀποτμήγουσιν οἱ δι' ἀνδράγχου.
Ἦ ἠγνόουν ὡς τῶν σεβασμίων ἄναξ;
Μαρκίωνα δ' ἀρθέντα μυρίης ἵππου
Ἱππαρχίῃ δίζοντο καὐτὸν συμμάρψαι.
Λέληθεν οὔς μέντοι γε, οἷα ῥηξίφρων,
Τῶν τῇδ' ἀποδρὰς ἐν στολῇ ἀσυνδήλῳ.
Οἶκοι δὲ ἁρπαύοντα ἀρχαὶ ἠρεύνουν
Πᾶσαι σχεδόν, μάλιστα συμφυεὶς ἄναξ.
Μόνῃ δ' ὑπεῖκεν ἄσμενος πολιτείῃ,
Καθιστάσῃ στρατηγὸν ἔκδικον κράτους.
Καὶ πρῶτ' ἀμυνάθοντα ἦγον Δαλμάταις
Γευσθεῖσιν αὐτῶν τῶνδε ἡμῖν ἀρχῆθεν.
Δύω δ' ἢ πλειῶνας ἐνδιατρίψας
Ἀναρσίοισιν ὡς ὀχληρὸς ᾠήθη,
Ὡς μὴ καθὰ πρὶν αὐθαδίζεσθαι πρόσω.
Σφῶν δ' εἴπερ ἠλαττοῦτο τυφῶδες γαῦρον,
Καὶ εἰσβολαὶ γίγνοντο ὡς πεφεισμένων,
Ἐκεκρίκεισαν μὴ τὸν ἄνδρα νωθρῆσαι,
Ἀλλ' ἐκστρατεύειν ἢ χρεὼν ἀρειφάτων,
Καὶ οἷς ἔγωγε τλᾶσα δηρὸν ὀχλοῦμαι.
Στόλαρχος οὖν προσόντα δέκτο οἰκείως.
Καὶ εἰν ἑνὶ ξύνθημα τοῖς στόλου πρόμοις
Βουλῇ παρεῖναι σκέψιος πρακτῶν ὕπερ,
Ἦ πολλὰ προὐβάλλοντο δεινὰ πυσμάτων,
Ὡς ἦν δοκεῖ εὔχρηστος αἵρεσις Χίου,
Ἣν εὐχερής τε αἱρετή τε Εὐβοίης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦ καὶ Κύδωνος, ὅσσα τε χρὴ πρὸς τάδε·
Ὁ μαρκίων γοῦν ἥμενος δημηγόρει,
Καὶ γνωμάτευεν ὅσσα ἦ δόκῃ ὤφλει.
« Ἐμοί, ἀγαυοὶ ἄνδρες, ἡμιμυρίων
» Δεῖ πρυλέων ἄγυρις εὐζωνοτέρων,
» Ἢ τοὐλάχιστον τετράκις δισχιλίων,
» Καὶ χιλίη ἵππου τε ἐξησκημένης,
» Κεκριμμένου ἔμοιγε χρωτὸς ἀρτίου
» Στρατεύματος πρὸς χρῆσιν ἐκδίκου μάχης.
» Τῆμος κελευσταὶ οἷς δοκεῖτ' αὐτοὶ ἔργοις,
» Ὅποι τε ἂν πόρθησις ἦ ἀναγκαῖα
» Αὐτὸν μ' ἰάλλειν ἐκτελεῖν δεδογμένα.
» Οὔπω δ' ἐπεὶ ὥριστο ποῖ δὴ προκρίτως,
» Ἀλλ' ἀξιοῦτε γνωματεύειν μ' ἐν τοῖσιν,
» Ἐμοὶ δοκεῖ, ὦ ἄνδρες, εὐφορώτερον,
» Λυσιτελέστερόν τε ἀμφί που Κρήτης
» Ῥητῇ στρατείῃ δηριᾶν ἠπημένως,
» Ἢ, τῆσδ' ἀνίκμου πυρσοῦ ἐκ τυραννούντων,
» Ἡμᾶς ἀροῦν ἔνικμα γῆς ἀλλοτρίης.
Ἥδεῖα κοινῇ σκέψις ἥδε ἡ δημηγόρου.
Καὶ δὴ στόλαρχος μήδεϊ θήσων πέρας,
Τὰ πρὸς μάχην ἤντυνεν οὐκ ἀμύνουσαν
Τειχῶν ἐμῶν κρήδεμνα εἰσέτ' ἐν τλήσει,
Ἀλλ' ἐς πέδον σύγκρουσιν ἐγκροτουμένην.
Στρατὸν παρεσκεύαζεν ἔνθεν αὐτάρκην,
Κἀνταυθὶ αὖ κόμητι ἐκ Σινωβίκων
Παρηγγύα δωμήτην ἐκ πυρσοσκεύων,
Πυρεκβόλους τιτθούς τε ἑξήκοντά που,
Ἐπὶ τροχίσκοις τὰ τραχῆ ἀεισύροις.
Ἐπὰν δὲ ἦν τὰ πάντα ἐξηρτυμένα
Καὶ μαρκίων τε ἦν προπεμφθεὶς πρὸς τάδε,
Ἐμήνυε στράτευμα ἠκουσθηκέναι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐς Ναυπλίην ἱκέσθαι ἡμιμυρίων,
Τὴν πρός με πληθὺν ἀκρατῶς ἀεξόντων.
Τοὐθείνεκεν σκεφθέντα ἀμβλεῖσθαι δέον,
Οἷα σθένους δέοντα καρτερωτέρων,
Ἢ συστάσει λέλοιπε τἀμὰ παντάρχας,
Καὶ ᾧετ' ἀρχῇ αὖθις ἐγκαινούμενα.
Οἷς νῦν φοραὶ ὕπερθεν ἐγγυοῦσ' ὅρον
Ἠνιγμέναι ὄλεθρον οἴκου Ὀτμάνων,
Καὶ ἠνί ἀντίφθογγα ἠχοῦς συνθρόου
Σαφῆ γεγῶτα κἀδαέσσ' ὧν σκεμμάτων.
Οὐδὲν γὰρ οὓς τοὐπεῖγον εἰς ἔνεδράν μοι,
Εἰ μή γε δυσκάθεκτος ὑσμίνη φῦσα
Διχοστατοῦσα προκρίτους αἰσυμνήτων,
Ὡς δηθὰ κυμαίνεσθαι αἱμάτων ῥόους,
Ἔνθεν καὶ ἔνθεν τριτανύστου Εὐρώπης.
Ἴλεγξε μέντοι σφῶν κενὰς διασκέψεις
Θεία πρόνοια, συγκινοῦσ' ἐναντία.
Αὔξειν γὰρ ᾠηθέντας οὔρια κράτους,
Καὶ Κρῆτας ἴσχειν εὐμαρῶς ἐπικτήτους,
Πράττειν κενὰ δέδειχε πλειῶσ' οἷς πλείστοις,
Καὶ μητρὸς ἅψασθαί μου οὐ προσεῖταί πως,
Ἀλλ' ἀντέφραττε σφῶν ἐπίκλοπα μήχη,
Μάτην ἐπιῤῥηγνῦντα γαίῃ καὶ πόντῳ.
Τέως ἐνοῦν ἔπειξις ἦτορ κοιράνων
Εἰς ἀστρατείην ἀενάου εἰρήνης,
Ὁμοῦ θ' ὁμαρτεῖν χάρματ' ἀγλαῶν γάμων,
Γάλλου τὸ πρὸς τὴν παῖδα σεμνοῦ ἑσπέρου
Κῆδος σεβαστὸν τημελῶς ἀσπασθέντος.
Ἔνθεν κρότοι γίγνοντο Εὐρώπῃ πάσῃ,
Χ' ὡμοφρόνουν ξύμφωνα δύσνοοι φύτλαι,
Ὡς ξυμμάχους τε συνδραμεῖν πολιτείᾳ.
Πρεσβεῦσι δ' ἀμφέροντο χάρματ' εἰρήνης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κειμηλίων τε ὑμεναίων εὐαγῶν.
Οἵγ' ἐγγυῶντο σφῶν σθένει κατ' Ὀτμάνων
Κρήτης ἐς ἄλθος εὐχερὲς λαιψηρόντε.
Τοιαῦτ' ἀπῆχον νέρθεν αἱ φοραὶ ἄνω,
Εὖτε στόλαρχος νόστιμος Τορωναίου,
Θερμαϊκοῦ ὕπερθε θατέρου κόλπου,
Οὗπερ Τορώνη ἐγκαθίδρυτ' ἀρχαίοις,
Καὶ φρουρὰν ἐγκαθίστον ἐξῆς Ὀτμάναι.
Ἀνάστατον δ' ὃς ἕδρα τρισσί που ὥραις,
Καὶ λαφύρων δαίτρευεν ὡς πλεῖστα στόλῳ.
Παλινδρομῶν δ' ὤκιστα ἀκμῆς τοῦδ' ἔργου,
Ἐς Ἀσίης ἔδαφος ἀντικρὺ Χίου
Μεταίφνιος ποτᾶτο, νέρθέ που Σμύρνης
Φρουρὰν Κεσουμὴν συνδιαρπάσας ἄρδην
Αὐτοῖσιν οἰκήτορσι καὶ πυρεκβόλοις.
Ἀλλ' αὖ τριτώσων ἐξέπλει πάλιν Μήλου,
Κᾆς Λύκιον πέλαγος ὥριζε πλόον,
Σκοπὴ ὅπου ἐχυρὰ φυξίμου ὅρμου,
Ἣν ὠχύρουν νῦν τημελῶς Ὀτμανίδαι,
Νηῶν ἐς ἠρέμησιν ἔκπλου πρωτίστην
Αἰγυπτίηθεν οὖδας ἐς Βυζαντίων,
Καὶ ὠνόμαζον Καστρόρυζον προσφάτως,
Ἀντ', ὡς ἐγῷμαι, τῆς πάλαι Δολιχίστης.
Ἔωθεν οὖν προσκρούσας ὁρμῇ ἀσχέτῳ,
Φρουρὰν κεραυνοῖ, ἦχί περ σκοπὴν στέψας.
Αὐτοὶ δέ γ' ἠμύνοντο κάρτα πανῆμαρ,
Ἐλπωρῇ ἀσφαλῆϊ ἐκ τροπῆς σίντων.
Ἐπὰν δὲ καὶ πίταρδος ἤρτηται πύλῃ,
Καὶ ὁπλιτῶν πίμπλητο τοὐκτὸς πᾶν οὖδας,
Εἴκαθον ἀμφίπληξιν ὀψὲ δειέλου,
Πύλην τε ἠνέωγον, ὡς κεκαυμένην
Μὴ σφίσ' ἴδοιεν φρουρὰν αὐτὴν καὶ παῖδας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στόλαρχος οὖν εἰσῆεν ἢ θριαμβεύων,
Λαφυραγωγῶν ὅλβων ἐκ πολυχρύσων,
Ὡς καὶ πρόμον φθέγξασθαι ἄντα παντάρχου
Τόσων γενέσθαι ἐγκρατῆ νομισμάτων,
Ὡς μὴ χρέεσθαι εἰς ἔτη μισθοῦν στόλον,
Ἄλλης προμηθείης τε ἐκ πολιτείης.
Τὰ αὐτά τε Σκίαθος ἔτλη δυστόνως,
Ἦν ἂν δυνάστῃ μὴ ὑπεῖκε πειθήμων,
Μετρεῖν ἄτ' ἀδράνειαν ἑδμων πρὸς σθένος.
Ὦ κἀνέωγον αἶψα φρουρίου πύλας,
Καὶ εἰσιόντα μὶν θεράπευον δώροις.
Μαλθάσσεται δ' ὃς παῦρον ἐκ δωρημάτων,
Χαρίζεται οἷς γάρ κεν ἀσφαλῆ βίον,
Ἀλλ' ἐξορίστους ἐκπεπόμφει Ἀσίῃ,
Καὶ ἐγκρατὴς δέδεικτο ὅλβων καὶ βίου.
Ἦν δ' ἂν προσάντης εἰσέτ' ἔργοις κερδῴοις,
Κύων λαγώοις αἵμασ' οἷα ἡδυνθείς,
Εἰ μὴ πολιτείηθεν ἵκανε θρόος,
Μετατρέπων κέλευθα τῆσδ' ἀλιτείης,
Κῆρ δ' ἀβρύνων φέριστα δυσθυμουμένοις,
Δηρὸν κακουχήσασιν αἷς τρικυμίαις.
Μάρκος γὰρ οἰκετείας ἀγλαΐης Βέμβων,
Ἄντανδρος ἥκων ὑπάτου διωνύμου,
Μετάγγελος δηλοῦτο Γάλλων ξυμμάχων.
Ἄναξ γὰρ ἔθνους συντεθεὶς πολιτείῃ
Χαρίζεται σύνταγμα ὡς τρισχιλίων,
Ἀνακτόρου κέρμασσι μισθαρνευόντων
Πλὴν ἀρτοσιτεῖν ἐν θέσει τῶν ἐνθένδεν.
Ἰούλλιος γὰρ οἰκίας Μαζαρήνων,
Ὧν καρδηνάλις ἱερατείου Ῥώμης,
Τούτου μεθήμων προὔκριν' αὐλὴν Γαλλίης,
Καὶ τόνδ' ἄναξ πρόσπτυσσεν, ὃν καὶ ἀξίου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπιστάτην βουλαῖσιν ἔργων δηΐων.
Οἷς δ' ἴδρις ἐνδείκνυτο καιροῖς ποικίλοις,
Πληροῖ τὰ νῦν πρόσοιμα πρὸς πολιτείην,
Δαΐζέ τε ξύνταγμα εἰς ἀρχῶν στίφη,
Καὶ Ἀλμέριγον παῖδα πομποῦ Μουτίνης
Πρόμον καθίστη πᾶσ' ἐπικρατέστερον.
Ὃ γὰρ συναφθεὶς κῆδος ἐξ ἀδελφιδῆς,
Κῦδος τόδ' ἐσκέφθη τε δοῦναι ἀκρίβῳ.
Ὃν δέκτο φαιδρῶς κἀσμένως πολιτείη
Ἐνδείξεσι στιλπνοῖσι, χαριστηρίων
Ἄνακτ' εἰς αὐτὸν κἀς χάριν Μαζαρίνου,
Κἀνηγόρευον πᾶσ' ὕπατον στρατάρχην,
Ὡς μὴ ὑπείκειν ἢ στολάρχῳ ἐν μόνοις
Μόθοις πεδεινοῖς, ἢν ἐπείγει καιρός που.
Δι' ἃ στόλαρχος πρασμολήσας Κυθήραν,
Καραδοκεῖ ἄφιξιν ἀρχοῦ στρατάρχου,
Ἢ ὠκέως ξύμβαινε βορράθεν πόντου.
Καὶ ἐξιὼν ὑπῆντα εὐφήμως μάλα
Πυρεκβόλων βόμβοισιν ἀστραπηβόλων,
Ὃν καὶ προῆγεν εὐμενῶς ἐς Κυθήραν,
Ἐς συγκρότησιν ἀμφ' ἐμοὶ βουλευμάτων.
Καὶ συμφράσαντο ὡς ἁλωτέα Κύδων
Τὰ πρῶτ', ἐπείπερ λοιπὰ τῶν εὐχειρότων.
Ὡς δ' Ἀλμέριγος στρατὸν ἐξαπηρίθμει,
Πολλοῦ δέοντα χιλιοστῆς ἑβδόμης,
Βουλῇ μετηῦδα, κἀξεφώνει τοιάδε.
» Εὖ οἶδατ', ἄνδρες, τοὐμὸν ἔλδωρ ὁππόσον
» Ἐς ἀλλοδαπὲς τουτὶ ἱκέσθαι θέμα,
» Τοσατίοις ἔτεσσι δηϊούμενον
» Ὅπλοις ἐπαλλήλοισι δυσλήτου μόθου.
» Δεινοῦ δὲ ὄντος οὐ θεωρόν μ' ἠγγύουν,
» Σωτῆρα μέντοι τῆς κατασχέτου Κρήτης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Ἐς τουτί μοι αἴτημα χιλίων δέκα
» Μάχαις δριμείαις γυῖα ἐξησκημένων,
» Γερουσίη τε ἧττον οὐχ ὑπισχνεῖτο.
» Ἐπεὶ δέ γ' ἐγγυηθὲν ἐνδεῖ τριττύος,
» Ἐμοὶ δοκοῦν, ἄριστοι, ἀρκεῖν οὐδ' ὅλως
» Δήωσιν ἐς Κύδωνος· ἦδ' ἐκστρατείη,
» Ἣν Ὀτμάνων τρισσὶν ἐν μυριάσιν
» Αἰνῶς ἀπειργάσαντο αἱματορρύτως.
» Ἔνεδρά τ' ἦν δίμηνος· ἀλλ' ὡς μὴ δόξω
» Γυναικίας τίς κἦρ ἔχων ἀνειμένον,
» Μολεῖν ἕτοιμος ἢ ἀνώγει βουλείη·
Ὁμοίϊ' ἄττα οἷσιν ὃς διεξήει.
Χρεὼν δὲ πληροῦν πλειόνων δεδογμένα.
Καὶ ἀμβίβαζον νῆες' ἠριθμουμένους,
Καὶ ὠκέως πέραινον Ἀμφίμαλλόν δε
Πλοῦν, καὶ ἄτιζον δυσμενῶν ἐφεδρείας.
Ἔπαυλιν εἴπερ ἦν μυχῷ μακρῷ κόλπου
Τέτευχον ἔνθεν ἔς τιν' ἐχθρῶν κωλύμην,
Τῇδ' οἵδε συῤῥεύσαντες αἴρουσ' ἐντόνως,
Τέμνον δ' ἀφειδῶς κόρσας ἀντικρουσάντων,
Παύρων σαωθέντων μὲν ἐκ τροπῆς νώτων.
Οἳ καὶ καθηγέοντο τῶν τε Καλάμου
Καὶ Καλογήρου βασανιστῶν φρουρᾶς μοι,
Μαχῶνε ἀψιμαχὶ ἐγκαλλεπόντων.
Ἀτὰρ στόλαρχος ἐμμένων τῇδ' ἑδραίως,
Τὰς τάξιας συνῆπτεν εἰς ἀγχοῦ πέδον.
Καὶ Ἀλμέριγος αὖλιν ἱδρεύει πέριξ,
Δόκευε δ' ἔνθεν ἀντιτάξεις ἀντίων.
Ἀλλ' ἀθρέει ὅμιλον ἀσπέτου πλήθους
Περικτίτων Κύδωνος ἐξ ἀρειφάτων,
Φύρδην στολάρχῳ, προσφόρως καταιρόντων.
Οἳ κἦρ δέδειχαν αἶθον ἐς πολιτείην,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς πρόφρονας θανεῖν τε πατρώων ὕπερ,
Ὡς καὶ ἀριθμὸν ἐξέχειν αἰτουμένων.
Ὃς δ' ἀντελάμβαν' εὐμενῶς θεραπεύσας
Μειλιχίοις δώροισιν, ὡς πεπεισμένος
Μύνην τιν' ἄλλην μὴ ἐνεῖναι τοὐντεῦθεν,
Ἀρχὴν κρατίστην πρακτέοις ἐπενθέσθαι.
Ἀλλ' Ἀλμέριγος οὐκ ἀρέσκεται τοῖσδε.
Ὤμην γὰρ ἐν μάχεσσιν οὐκ ἠσκημένους,
Μὴ προξενεῖν θόρυβον ἐξησκημένοις,
Κἀντεῦθεν ἐξώλειαν αὐτῆς στρατείης.
Ὡς δ' αὖ τανῦν δόξειε μὴ ἀνειμένος,
Θέσιν Κύδωνος βούλεται ἀνακρίναι,
Εἰ δυνάμεσσιν αἷσιν οἷον πορθοῦσθαι.
Ἀσᾶνος ἔμπης ὢν στρατηγὸς ἧς μοίρας,
Εἴλῃ διαρκεῖ ἱππέων προηγμένος,
Ἐναντιοῦται ἔνθα συντεταγμένοις,
Καὶ εἰσαράσσων πρὸς μέτωπον ῥαγδαίως,
Πειρᾶται ἀντίπραξιν εὐσθενεστέραν.
Πυρεκβολίσκων γάρ κεν ᾧδ' ἀναφθέντων,
Τιτρώσκεται μέτωπον ἐκπνεύσας κέαρ,
Ὡς αὐτὸς ἵππαρχός τε τρωθεὶς καιρίαν
Δέκα ξὺν ἄλλοις· κόρσας ὧν κορσωμένας
Δέκτο στόλαρχος πρώραν ἐς στρατηγίδος,
Καὶ ἐμβόλῳ πόμπευεν ἐμπεπηγμένας,
Ὡς λοιπάδας τείχεσσι προσπεφυγμένους
Ἐντὸς σφᾶς εἴργνειν τοὐκτὸς εὐλαβουμένους.
Ἐγχώριοι δ' ἔκτεινον ἐς θεὸν χεῖρας
Τάδε προκόπτειν εἰς ἐλεύθερον βίον,
Κἀντοῖσιν βακχευθέντες, οὓς ἐμαρπτόν που
Δετοὺς ἐνεγκεῖν ἠγκόνουν στολαρχοῦντι.
Ξυστοῖς δ' ἔπειρον καὶ προῆγον δεσμώτας,
Γλίχοντο δ' ὅπλα ἐγγυώμενοι μείζω.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' οὔτε ταῦτ' ἔπειθεν ἀρχόν, ἐς πρᾶξιν
Δριμυτέραν μέντοιγε δηλοῖ παντάρχᾳ,
Τάδ' αὐτὰ γράψας οἷα βουλῇ ἑτράνου,
Καὶ ὡς χρεὼν στράτευμα αἴρειν τῶν τῇδε,
Καὶ μᾶλλον εἴπερ βάξις ἦν διαπτᾶσα.
Σύνταγμα αἰνὸν πρυλέων τρισχιλίων
Καὶ ἑπτάκις θ' ἑκατὸν ἵππων Θρηΐκων
Ῥίμφα διῆξαι ἐς Γεράνιον κώμην,
Ἐπαρκέσον Κύδωνι πεῖραν ἱστᾶσαν.
Ἆραρ παρῆν στόλαρχος ἱππέας δ' αἴρει,
Ἡμίσιάς τε πρυλέων ἠδ' εὐζώνων.
Λοιποί δ' ἀνεζεύγνυντο ὡς πρὸς Μινῶαν,
Ὃν Γαρένας ἡγεῖτο ἔκκριτος Γάλλων,
Δειναῖς μάχεσσι τακτικὸς δεδειγμένος.
Ἐν διόδῳ γοῦν Καλάμου πυρεκβόλους
Αἴρει ἀναρσίοισιν ἐκλελειμμένους,
Περᾷ δ' ἄριστα ῥοῦν πυκνοῦ βαθυδίνου,
Καὶ ἀντία σκηνοῦτο αὐτῆς Μινώας,
Κἂν δυσμενεῖς ἀντίσχον οὓς μὴ πορθμεύειν.
Παρῆν στόλαρχος, κἀξέπεμπε τὴν ἵππον,
Πρόσκειτό τε ξύναιχμος ἐσκηνωμένοις.
Ἀλλ' οἳ δὲ ἠρέμησαν ἄμφω τε στρατώ,
Νυκτὸς κελαινῆς ὅσσε οἷς καλυψάσης,
Καὶ πρωὶ ὁρμήσαντες αὐθαδῶς ἔνθεν,
Ὧρουον εἰκῇ Γαρένου παρατάξει.
Ὃς γάρ κεν ὀχυρώσας ἀντικρὺ λόφον,
Λόχον παρεσκεύασεν αὐθαδισθεῖσιν,
Ἐξ ὁπλιτῶν ὅπουπερ ἐμπυροστίλβων.
Στρατοῖν γὰρ ἀμφοῖν συμπλακέντοιν γενναίως,
Πρὸς πλευρὰν οἳ κἄππιπτον αἰνὰ οὓς δρῶντες,
Ὁμοῖα στόλος τε ἔκτοσθεν βάλλων,
Αὐτοὺς μὲν ἠνάγκαζον ἔνθ' ἀποστείχειν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἐκ διωκτῶν συνδιωκτοὺς δειχθῆναι,
Καὶ ῥᾷστα λιπεῖν φρουράν, οὐσίας θ' ὅσας,
Φύσεσσιν ἔμπης ἐξ ἑκάτερθ' αἱμάτων,
Ὡς Γαρέναν τε συμπεσεῖν οἰκτρὸν νέκυν,
Ἄνδρα γεγῶτα ἀγαθὸν ὧν ἂν ἴσμεν.
Εἰσῄει δ' ἀρχὸς καὶ στόλαρχος ἀσμένως,
Καὶ ἠρέμουν τριταῖοι, ἀλλ' ἐν ἀκρίτοις
Κεκυφότες βουλαῖσιν ἀμφὶ πρακτέοις.
Ἐγχωρίων δ' ἔκτοσθεν ἄσπετος σύρφαξ
Κατῆρον εὐμενῆες εἰς πειθαρχίην,
Καὶ τῶνδέ τις πρόφρων μὲν ἐγγράφοις πεύσεις
Φέρων Κυδωνίηθεν αἵδε σκηναῖσιν,
Ἐν αἷς στρατηγὸς ἦς θέσκος πρὸς τόνδε
Ἐγεγράφει ἔμπρακτα, ὡς ἦν μὴ ἄφαρ
Ἐπαρκέσειε τάγμασ' ἀρκίου σθένους,
Αὐτὸν μεθ' ἕκτον ἦμαρ ἐστ' ἀναγκαῖον
Τὸ πᾶν προδοῦναι, καὶ ἄδειαν ζητεύειν
Ἀγχωρέειν ἄθικταν αὐτὸν χ' ἑταίρους.
Ἐπιστολεὺς γοῦν οὐ διήνυ' εὐθεῖαν,
Παραδραμὼν δ' ὁδείαν εὐθὺ Μινώας
Ἧκε, στολάρχῳ ἐκκαλύπτων μυήσεις,
Τὸ πρὸς πολιτίαζε ἐμφαίνων εὔνουν
Κατ' οὐδὲν ἧττον ἢ μετίσχον ἀρχαῖοι.
Τάδε στόλαρχος ἀμφέρει βουλῇ πάσῃ,
Ἀλλ' ὡς χυδαῖα καὶ νόῳ σφῶν ἀντία.
» Ἔθος πενήτων πρὸς σοφὰς προεκθέσεις
» Μὴ ἀμπετᾶν οὕατα τοὺς ὑψηγόρας.
Ἀλλ' οὐκ οἶδα δ' εἰ δαίμων τίς ἢ ἐριννύς τε
Οἷς ψιθύριζεν ὅσσ' ἀπαίσια πράττειν.
Ἀνάρσιοι γὰρ ἠφανίσθησαν πάμπαν,
Τετρωμένων σφῶν πληθὺν ἠδὲ κτανθέντων
Πρὸ ὀμμάτων ἴσχοντες ἔνδειγμα φρικτόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗτοι δέ γ' ἠντύνοντο αἶψ' ἀλυσκάζειν,
Ὡς οἷον αὐτοὺς ὤπτανον παλινδρόμους,
Καὶ τειχορήκτας ἐγκαθῆσται Μινώας,
Σῖτον, κριθάς τε, πληθὺν ἄρτων διπύρων
Πιμπρῶσιν ὡς ὤκιστα εἰκῇ κἀλόγως,
Ἅτ' ἐς σιτισμοὺς ταμιεῦσαι οὐς ἔδει
Στρατοῦ στόλου τε καὶ ὅσων ἀσπιστῶν μοι.
Ἐγχωρίοις δ' ὕποπτα τοιάδ' ἐξέβη,
Μήτοιγε, τῶνδε ὄργι' ἐκλελοιπότων,
Αὐτοὺς ἔλωρα συμπεσεῖν ἀναρσίοις.
Τοὐθείνεκ' ὑστέρησιν ἦν ποτοῦν ἴσχον
Ἄραντες ἐς στόλαρχον ἀμπεφευγότες
Αὐταῖς γυναιξὶ παισί τ' ὀψιανθέσιν,
Ἱκτήριοι ἔκλαγγον αἴρειν κινδύνων,
Οἷς πυρόεις κέκλησκε συγκλήτου ἔρως.
Ὁ δ' αὖ ἄφροντις ὦπα τέτραπται ἄλλῃ,
Καὶ συγκαλεῖτο ἀμβιβάζεσθαι στρατόν,
Ἐπεὶ ἀγέστρατός τε μαλθακισθεὶς ἦν,
Καὶ ἀνδύεσθαι δῆριν ἐκπεφροντίκει.
Βουλή τε μερμέριζεν οἴχεσθαι στόλον,
Καὶ λιμπάνειν ἄῤῥεκτα εὖ ἐνηργμένα.
Ἦμος δόκαζον γῆθος ἐξ ἀγγελμάτων
Δεσμῶν λύεσθαι παῖδά μοι Κυδωνίην,
Εὔελπι μέντοι τοὐμὸν αὖθις ἐσφάλη,
Ἐριννύος τὰ πάντα συγκεκυίας,
Καὶ ἠνιώμην τοῖς πεπραγμένοις φύρδην.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΜΗΜΑ ΚΒ'.

Ἔγωγε δ' ὀψὲ προῤῥυέντος ἤματος
Ἵκοντας ἔνθεν ἠρόμην αἰδημόνως
Τοὐπεῖγον ᾧ σπέρχοντο οἷς ἀπαυδῆσαι.
Ἃ προὐξένει σφῖν κῦδος ἐξ ἀγηράων,
Ἐμοὶ δὲ μόχθων τῶν πολυτλήτων λύσιν.
Ἐᾷν χρεὼν ἔφησαν ὀντινοῦν ἄλλων
Διοικέειν κρατοῦντας ὅσσα τοῦ κράτους,
Καὶ μὴ μεταλλᾷν οἰαοῦν δεδογμένα.
Τυτθὸν σὺ οὖν τέτληθι, καὶ σ' ἐλευθέραν
Ἴδοις μετ' οὐ βαιόν τι δηρὸν ὧν ἔτλης.
Ἐς τήνδε γάρ κεν σκέψιν ἥκομεν τῇδε,
Τὰ δυσχερῆ ἀφέντες εὐχερῶν ὕπερ,
Ποσοῦ στρατείης σκέψεϊ ξυμφωνοῦντος.
Καὶ πρωὶ ὑστεραίας ἤνωσαν τάξεις
Ἐς τόνδε τάφρον, οὗ ἀριστῶσ' ἐς κόρον,
Ἔστειχον εἶτα, ἡγμένοι μὲν εὐτάκτως
Φάλαγξι πεζικαῖσιν ἱππικαῖσί τε,
Σκηνῶν κατ' εὐθύ, πρὸς μάχην βακχευθέντες.
Ἀγήστρατος δ' ἦν Γερμανῶν γόνος Βάσις,
Ὃν ἀρχὸς ἦγεν εἰς ἄκουσ' ἀρητέων.
Εἵποντο δ' ἐκστρατείᾳ ἀρχὸς πομπεύων,
Καὐτὸς στόλαρχος πορφυρείμων, οἵ' ἄναξ,
Γεώργιός μοι πομπὸς ἐκ Κορνηλίων,
Πόλος τε οὐμὸς οἰκετείας Βερνάρδων,
Οἷα προόπτης ἀμφ' ἐμῶν βουλευμάτων
Μετὰ τροπὴν δὲ τῆς μεταπτώτου Λήμνου,
Μέγας τ' ἐπιστάτιος ἐκ Σινωβίκων
Ἐμοὶ ἀρωγὸς ποικίλοισιν ἐν μόχθοις,
Εὐπατριδῶν πληθύς τε ἀβροειμόνων,
Τακτοῦ στρατοῦ φάλαγκας ὡραϊζόντων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρόσω δέ γε στείχουσι συντεταγμένοις
Ὑπῆντον ἔνθεν δυσμενήων ἱππῆες,
Ἀλλ' οἰστροπλῆγες ἐκ φορᾶς ἀνευθέτου,
Ὄροντο δ' εἰκῇ ὡς δέκα πρὸ σταδίων
Σκηνῶν ἄπο πρὸς στρατὸν ὡς τεταγμένον,
Ναῦς οἷά τις σκοπὴν δε συγκαταχθέντες.
Καὶ οἱ μὲν ἐξόλοντο αἱματόπνικτοι,
Οἱ δ' αὖ πέφευγον ἔρκεσ' ἐγκεκλεισμένοι
Σκηνὰς προλιμπάνοντες ὡς εἶχον βίου.
Τοιάξδε ἀρχὰς ἔσχεν ἥδ' ἐκστρατείη,
Φρυαγμηδὸν στίλβουσα δυσδερκὲς δεῖμα.
Ὅτ' αἶσα ἐντύνουσα δύστηνον τέρμα
Μετατρέπει κραταιὰ ἐς κενὰ σθένους.
Πρόταξις εἴπερ ἧς πορείης εὐτάκτου
Λοχαγὸν ἐλλείπουσα οἰστρέει πρόσω,
Καὶ σκηνὰς εἰσάρασσον εἰς χηρηΐους,
Καὶ ἀφρόνως ἔραζον ὅπλα κατθέντες.
Μυῖαι καθὰ δὲ συμπετασθεῖσαι γλεύκει,
Ἐνησχολοῦντο ἁρπαγμοῖς συλημάτων,
Ἀπεσκόπουν δ' εἰρχθέντες οὓς ἠνεγμένους
Ἄτακτα συλήσεσσιν οἰστροδινήτους,
Πύλας τε ἠνέωγον ἀτρόμῳ θάρσει,
Ἅτε στρατάρχης ὥτρυν' ἐν μειλιχίοις
Τοιοῖξδ' ἔπεσσι συλέους' ἀντιβῆναι·
« Ἔμοιγ' ἑταῖροι, οὐκ ἀνεκτὸν ἡγεῖται
» Πρὸ ὀμμάτων σῶν δυσμενεῖς αἴρειν βίον,
» Αὐτοὶ ὃν ἐκτήσασθε ὑσμήνης νόμῳ.
» Ἥδ' ὕβρις ὑμῖν οὐ μόνοις, ἐμοὶ μᾶλλον,
» Ἓν εἴπερ ἐσμὲν ἔκ τε κόρσης χρωτός τε.
» Κόρση δ' ἔγωγε ἧ φορὰ χρωτὸς πᾶσα.
» Ὑμῖν ὄφλημα ἀμφέπειν με πάντη που,
» Ὡς μὴ ἀκινήτους τε ὠλέσθαι πάμπαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» Τί ἐσκτάσει φέρεσθε; οὐκ ἀθρεῖτέ πως
» Αὐτοὶ ἄνοπλοι συγκεχύφαται φύρδην;
» Ἐγὼ πέπεισμαι εὖτ' ἐπιπτήσεσθ' ἴπτειν,
» Καὶ μὴ διαίρειν οὓς κλοπῇ μεθυπλῆγας.
Τάδε στρατάρχης, καὶ πυλῶν ἀνειμένων
Ἵππῆες ἐξήεισαν ἑξάκις δέκα
Κλαγγηδὸν εἰσπεσόντες ἐς συλοκλόπους,
Καὶ οἰκτρὰ οὓς ἔσφαττον ὡς ἐν ζωγρίῳ,
Οὓς δ' αἰχμαλώτοις ἦγον εἶλαρ ἐς νέον,
Παύρων τραπέντων εἰς στρατοῦ ξεναγίην,
Ἀλλ' αἱμοχρώτων ἐξ ἀκεστῶν τρωμάτων.
Ὁ οὖν ξεναγὸς ὡς δεδόρκει τρωθέντας,
Καὶ φωνὰς ἠκροᾶτο ἐκ νεοσφάκτων,
Προσίσχε τυτθὸν τῇ ἀγηστράτου δόξῃ,
Ἣν κέκλεται ταὐντεῦθεν ἐς πρόσω στείχειν,
Πληρούμενον πρόταξιν ἐξοληκμένην.
Ἐριννὺς ἔμπης οὐκ ἐψιθύριζ' ἔτι,
Στέρνος δ' ὅτῳ ἐμβάσα Γαλλίης γόνῳ,
Ἐμοὶ διαιτήσαντι ἀβρῶς ἐκ νέων,
Ἐπιστάτιος ἀξίῃ δ' ὃς φὺς μέγας,
Παρὰ στολάρχῳ ἦν τὰ πάντα ἰσχύων,
Κἀπεκράτει βουλαῖσιν ὁποῖαι αὗται·
Τοιῷδε θάρσει ἴσχ' ἐριννὺν ἐγκάτοις,
Βοῦς οἵα Φαλάριδος ἐκπυρουμένη,
Αὔειν λυπηρῶς γηθέοντος εἰργμένους.
Βοᾷν ἔνυτ' ἐριννὺς αὐδῇ λυσσώδει,
Σωζέσθω ὃς σώζεσθαι, οἷος φυγγάνων·
Γεγωνέει δ' ἐπὶ τρὶς αὐτονὶ φθόγγον,
Κατὰ στρατὸν πρόπαντα, οὓς καταπλήττων,
Ὡς καὶ στόλαρχον ἀρχὸν ὅσσους τε πρόμων
Σπουδῇ ἔπεσθαι οὐραγῷ παλινδρόμῳ,
Πρόταξιν ἐμποιοῦντι ἀμπαλινόροις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὓς Βέμβος ἀθρῶν ἔνθεν ἀνθύπατός μοι
Τὴν πρός με συῤῥέξαντας ὡς ἠπηγμένως,
Ὡς εἰ διώκων ἦ στρατὸς πολυῤῥαίστης,
Τίταινεν ὄμμα πρός με ἐκπεπληγμένος,
Κἀσχετλίαζε τῶν ἐμοὶ κακουργέτην,
Ἐπεὶ ὅσ' εὐχείρωτα εἴασαν μάτην,
Ὡς οἷα δυσπόρθητα πίστει ἀῤῥήτῳ.
Αὐτὴ δ' ἐμειδίασα κύπτουσα αἰδοῖ,
Καὶ εὐχαρίστοις ἦν ἔπεσσ' ἠνεγμένη
Πρόμῳ μοι εὔνῳ κἀλεοῦντι Κρητῶα.
Ἐν οἷς πέραινον ὡς ἔτη κἂν ἐῤῥύη
Ἓξ καίδεκα στενακτὰ εἰς ἔνεδράν μοι
Κατ' οὐδὲν ἐπτόησεν ἡ μονὴ μόθου
Σκεφθεῖσαν ἀδράνειαν ἐγκαθεσθέντων,
Αὐτῶν κατισχόντων μοι ὡραϊσμούς μοι,
Εἴπερ μὴ οἷον ἐκ πυλῶν ἀνακτόρου
Ἄλκαρ δεδέχθαι δηρὸν ἠτονηκότος,
Τῶν ἁλίων δὴ ταὐπίπαν ὀλλυμένων,
Ἐκ προσβολῶν τοσῶνδε πρὸς πολιτείης,
Πρὸ ὀμμάτων σφῶν οἷς θαμὰ ξυμπλακείσης.
Καὶ εἰ τανῦν ἔδοξεν αὐτοὺς ἐῤῥῶσθαι,
Οὐ θάρσους αὐτῶν, ἀλλὰ τῶν θαῤῥυνάντων,
Οἳ ἀντ' ἀτόλμων ἐνδεδείχασ' εὐτόλμους,
Καὶ πρὸς σφαγὰς πρόταξιν εἴασαν σίνταις,
Ὡς ξύμμαχοι σφῶν πρός γ' ἑταίρους οἰκείους.
Οἶδ' οὐκ ἀνεκτὰ ταῦτα φαιδρᾷ συγκλήτῳ,
Καὶ μὴ ἐᾷν τάδ' ἐκδικήσεως ἄνευ.
Ἀλλ' ἄττ' ὑπερτίθενται οὐκ ἀφαιρεῖται.
Ἵππευεν ὥρα καὶ συνίππευε θρῦλλος
Γέης ὅπουπερ, καὶ θριάμβευε δρᾶμα,
Οὗ καὶ πολιτείαζε ἠχὼ τ' ὠκίστη,
Κἀξιστόρει πατράσσι χρῆμ' ἐκστρατείης,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὔφρων δ' ἔσεισιν εἰς ἀνακτόρων πόλιν.
Καὶ Γουλιέλμος σὺν προκρίτοις ὡμάρτει,
Γνωστὸν γὰρ ἴσχε κἀφιλοφρόνει μάλα,
Κἀναδοχεῖα ἠξίου εἰς ὃν παῖδα,
Ἀχθέντα πομπῇ λουτρὸν εἰς ἁγιστείης.
Δι' οὗ γὰρ ἀρθμὸν εἵλπετ' ἐξ Ἰταλίης,
Ὡσεὶ δυνάστου ἐν μεγίστοις Εὐρώπης,
Καὶ ῥύεται τὸν ἄνδρα οἰκόνδ' ἱκέσθαι.
Ἀλλ' ὅς γε, αὐτῷ εὔχαρίς τις ὡς δόξῃ
Εὐδαπάνου δυνάστου ἐνδείξεσί τε,
Χαρίζεται ἄνακτι φιλοτιμήσας
Ταινάριον, Σπάρτην τε κἀπίδαυρόν τε.
Μέντοι μεταγνοὺς ἀφάσιος τοιᾶσδε,
Πειρᾶτο ἣν οἷόν τε μάρψ' ἀνειμένα,
Ἐκ ξυμμάχου ἰσχύος ἀλίου μᾶλλον.
Μαμφρήδῳ ὦρτο, οἷά περ συνκηδεστῇ,
Καὶ οἷα ἐχθαίροντι τὰ Παλαιλόγου.
Ἀτάρ τ' ἐπὶ Κάρουλος ἐξ Ἀγγιτοῦ,
Κάσις ἄνακτος ζαθέου Λοδουΐκου,
Αὐτὸν κατέκτα, Σικελίης τ' ἐκράτει.
Πρὸς τόνδε καινὴ Γουλλιέλμου συνθήκη,
Ὃ προσφέρει σεαυτὸν εἴκοντ' ἐν πᾶσι,
Πλὴν αὖ πόλεις γένοιντο οἴκῳ Οὐΐλλα.
Κενὴ δὲ ἀρχοῦ συμπαραίνεσις πᾶσα.
Παλαιολόγος γὰρ πρέσβυν ἐκπεπομφήκει
Πέτρῳ ἄνακτι Ταῤῥακῶνος ἰφθίμῳ,
Χρυσῷ ἐν ἐνεργῇ, ὡς ὁρμῶν ἔνθεν
Ἐπαρκέσειεν ὄχλον οἱ ἐπιστάντα.
Ἄναξ ἐς οἶκτον εἵλκετ' ἐκ πρεσβευμένων,
Στόλον δέ γ' ἐσκεύαζεν ἐκ μαχημόνων
Νηῶν ἐν ὁπλίταισι γαυριοφρόνων.
Ἄλλων δὲ οἱ μέρμηρα, ἄλλα δ' ἐξέβη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ γὰρ ταγαῖοι Σικελίης Καρούλῳ
Συναλγέοντες, Γαλλικῶν ὑβρισμάτων
Φειδοῦς ἄνευθεν, τῆς φθορᾶς τε σφῶν παίδων,
Τῶν ἐξόχων ἀλθεύς τις ἔκφρων πλάττεται.
Λοτὸν λαβὼν δὲ μακρὸν ἐκ διατρήτων,
Ἀνὰ πτόληας ἐπλάνυττε παρπταίων,
Καὶ βόμβε' ἐξάρμοστα ἐμπίδων δίκην.
Ἐπὰν δ' ὑπῆντα τοῖς ξυνωμόταις τέως
Λοτὸν διΐθυν' εὐθὺ κυμβάλων ὥτων,
Κᾠθιθύριζεν ὥραν ἣ ἐχρῆν ἔρδειν.
Ἑφέσπερος δ' ἦν ὕμνος ἥματος λαμπροῦ
Χριστωνύμοισι, πάσχα Χριστοῦ ἀνστάντος,
Κώδωνος οὖν κρούοντος ἀρχῇ Πανόρμῳ
Λοιπαὶ πόλεις ξύμφωνα ἤχουν πάντῃ που,
Γάλλοι δ' ἐσωρεύοντο εἰς ὑμνωδίην,
Λεληθότες μέντοιγε εἰς πανωλείην.
Αὐτοὶ δ' ἔνοπλοι συγκαθήμενοι νόσφιν,
Ἐπεισπέκαικαν ὑβρισαμένοις λάβρως,
Ἔσφαττον οὓς οἴκτιστα, ὡς αὐτῇ ὥρᾳ
Νῆσον κακῶς πᾶσάν τε συνφοινιχθῆναι,
Ὡς προστραγῳδῶ, Γαλλικῶν ἐξ αἱμάτων,
Εἰ καὶ Κάρουλος εἴρυται Νεαπόλει,
Ὅπου τελευτᾷ ἐκλυθεὶς τῶν ἐξαίφνης.
Τέως στόλος κατῆρεν ἐκ Ταῤῥακῶνος
Ἐς Σαρδὼ εὐρύνησον ὡς πρὸς Ἑλλάδα,
Κᾀγγέλλεται ἄνακτι ὅσσα ξυμβάντων,
Καὶ προσκαλοῦντο τόνδε Σικελιῶται
Ὡς σφῶν ἄνακτα οὗ κράτους ἐν προσκτήσει.
Καὶ Γουλλίελμος πρὸς τύχην Παλαιολόγου
Βέλεμν' ἀπειδὼν ὡς μάτην ἀκοντίζειν,
Κᾆν ξύμμαχός τε ἠγγύα πολιτείη
Σκευὴν τριήρεών τε τετράκις δέκα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπηῦδα οἷσιν ἠσχολεῖτο ἐμπύρως,
Τυχὸν προαισθεὶς οὗ μόρου προθεσμίην,
Ἣ προὐφθάκει μὲν ὧν διεννόει ἔρξαι.
Ἀλλ' εἶγε εἴαταί μοι ὡς ἐχρῆν μνᾶσθαι
Οἴκων μεγίστων, οἷς κεκηδεύκει πάλαι
Αὐτοκράτορσ' ἄναξιν οἶκος Οὐίλλα,
Καιρὸς παρὼν μὲν οὐκ ἐᾷ παρεκτᾶσθαι,
Ὑποσχεθείσῃ συντόμως διηγεῖσθαι.
Παραδραμεῖν δ' Ἄνσελμον υἷα Γοφρήδου,
Βατάκιν ἀτύσαντος ἀλίῃ μάχῃ,
Οὕπως δέον, κάσαντα εἶμα θέσκελον,
Ἀήθη ἐᾷν ἄμνηστα θέσκελ' ἐργμάτων.
Ἄναξ Παλαιολόγος γὰρ εὖ ἐπισκεφθείς,
Ἣν παῖδα ἴσχεν οὖσαν ἄλλων καλλίστην,
Ὧ γ' ἐγγυᾶται Μαρίην προμνηστεύσας,
Καὐτῇ τέτικτο παῖς πρόφρων Βαλδουΐνος,
Ὃν μητρὶ λιπών, ἐς Σόλυμα εὐχέτης
Ἀπέδρα ἐς σέβασμα σωτῆρος τάφου,
Καὶ πρὸς Σίναιον προσβιβάζεται ὄρος.
Ζηλώσας οὐκοῦν βίοτον μοναζόντων,
Σφῶν ἐνδιδύσκει εἶμα μετριοφρόνως,
Μετονομασθεὶς Θειόδοσσος ἐς χρίσμα.
Μετασταλεὶς δὲ τόνδε κηδεστὴς ἄναξ,
Ἀφνειὸν εἰς σεμνεῖον ἷζ' ἐπιστάτην,
Ἀσκουμένοισι βίοτον καθαρμένον.
Ἀλλ' ἔνθεν ἠξίωτο ἀρετῶν χάριν
Ἀντιοχείης ἠρεθῆναι πατράρχην,
Ἐπὶ θρόνον τοσόνδε, ὃν τετιμήκει
Εὐφραδίῃ λόγων τε καὶ ἁγνῷ βίῳ.
Ὁ παῖς δὲ Βαλδουΐνος, ὢν φιλειδήμων,
Ἐκδρὰς πλανήτης μητρικῶν ἐξ ὠλενῶν,
Ἰταλίηνδε οἱ σκοπὸς διαστείχειν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κράντηρα δ' ἡμῶν φαιδρὰ ἑλκύει πόλις·
'Ανασφαλεὶς δέ γ' ἔνθα μηκίστης νόσου,
Φίλου ἀρωγοῦ οἰκίας τῆς Σκαλκίων,
Λαγκηλότου δὲ τοὔνομ' ἐκ Παταβίου,
Σημηΐου ἄνευθε τίς ποτ' ἂν εἴη.
Ταμεῖν δ' ἐπείγετ' ἔνθεν οὐδὸν Γαλλίης,
Ὁδεία δ' οἱ πρωτίστη ἐς Γένουάν δε.
Γιγκῶνις ἔμπης ἀρχὸς ᾧ κλῆσις λόγῳ,
Πράγματι μέντοι πειρατὴς κακορρέκτης,
Ἁλίσκεται τὸν παῖδα, τόν δ' ἔτην ἔκτα.
Καὐτὸν κατίσχε φρουρίῳ ἐργμένον,
Ἄχρις τε οὗ Γιγκῶνις ἐλλείπων σθένους,
Οἷς δυσμενέσσιν ἔκταται κακοπράγμων.
Βαλδουΐνος δὲ ῥύεται τῶν εἱργμάτων,
Ὑπερτιθεὶς δ' ὁδεῦσαι ἐς Καμπανίην,
Κράντηρά μοι δέδεκτο ἐκ παλιντρόπων.
'Αλλ' ἐντυχὼν εἰς ἰρὸν ἐνθέου Μάρκου
Λαγκηλότῳ δὴ τῷ πάλαι ἐρασμίῳ,
Διϊστόρει ξυμβάντα τριετηρίη.
Αὐτὸς δὲ παρμυθεῖτο κἀψυχαγώγει,
Παταβίῳ δ' ἀνῆγε τερπολῆς χάριν.
Ὃ παῖδα ἐξέδωτο, οὖσαν καλλίστην,
Γονὴν μόνην τε, κλημένην Βεατρίκην.
Τέως ἔγνωτο φῦντα υἱὸν 'Ανσέλμου,
Θυγατριδοῦς τ' ἄνακτος ἐκ Παλαιολόγων.
'Επεὶ δὲ καὶ πέπυστο πάππον τεθνᾶναι,
'Επιτροπικὸν γράμμα κηδεστὴς ἴσχων,
Ὤκιστα πλοῦν ἦνυεν ἐς Βυζαντίδα,
Καὶ ὄλβον οὐκ ἄτιμον ἤνεγκ' ἐκ νόστου.
Τοιᾶσδ' ἀγαυῆς καὶ παλαιγόνου φύτλης,
Πηγῆς βαθυῤῥόοιο οἷα, ἐξέβλυ
Πληθὺς στρατάρχων τῶν ποτοῦν ἀειμνήστων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὓς ἐξαριθμεῖν, ἔργ' ἀρήϊα σφῶν τε,
Καὶ πρὸς μέδοντας πινυτόφρονας πρέσβε·,
Δέδοια τοῖσδε μή τι πῶς ἐκβακχεύσω,
Κἀφηγέεσθαι τἀμὰ ὡς πεφυρμένως.
'Αλλ' ἢ μόνον δὲ μνήσομαι Αὐγουστίνου,
Υἱοῦ φυέντος Λαγκιλώτου Οὐίλλα,
'Εκ Βηατρίκης θν γεννᾷ Βαλδουΐνος,
'Επώνυμόν τε πενθεροῦ κλῆσιν θέτο.
Οὗτος μετῴκισ' ἐν πόλει Φερράρίᾳ,
Ἣν Ἠριδανοῦ ῥοῦς βαθὺς περιῤῥέει.
Ἦγ' ἐκδέδεκτο, συμπολίτης οἳ ἄλλος,
Καὶ ἠξιοῦτο ἀξιῶν τῶν ἐκκρίτων,
Ὡς ἡγέτην πόλιος ἀρχείοις ἄκροις
Πρέσβυν προπέμπειν, οἷα δεινὸν ἐν λόγοις.
Φραγκῖσκος εἶτα τοῦδ' ὀνύματος πρῶτος
Κἀλφόνσος ἀντέλλουσιν, ἀπφὺς υἱεύς τε
Οὐίλλα οἰκετείας, ὡσεὶ ἀστέρες.
Κἀπηύγασαν φέριστα ὅπλα Γαλλίης,
Οὓς ἠξίου στρατάρχας οὗ σκευαὶ μόθου,
Ἄναξ ἐπεὶ ἔγνωκεν ὧν ἀριστείας,
Οὐχ ἥττονας μὲν τῶν πάλαι κροτουμένων.
Ἄλφονσος ἐξῆς οὐκ ἀπῆν ναυμαχίης
Κατ' Ὀτμάνων εὔχρηστα κόλπῳ Ναυπάκτου,
'Ανθ' ὧν πολιτείη τε εὐέρκτην γράφει.
Φραγκῖσκος ἄλλος ὦρτο ἀστὴρ αἰγλήεις
Ὧν Μαρκίων τέτυχε τιμῆς θ' ἱππέων,
'Αρχηγέτης τε 'Εμμανουῆλος μέγας.
Σαβαυδίης τὸν ἄνδρα οὕτως αἰδεῖτο,
Ὡς τόνδ' ἄγειν τιμαῖσι τῶν ὑψηνόρων.
'Εκ τοῦδ' ἔφη Ῥάδαμνος εὔκομος πάνυ,
Ἄνθη φέρων μὲν καρπότικτα ἐκ παίδων,
Οὐΐδος οὗτος ὁ κλεεινὸς πάντῃ που,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λεπτοῦ ὡς ἐξ ὄνυχος ἦν δειχθεὶς μέγας,
Τεράστια δρῶν οἷ' Ἀλέξανδρος πάλαι,
Τεχθεὶς ἀγητὰς γυμνάσεσσ' ἀρτίοις,
Ὡς συνδιαιτητάς τε ἐκθάμβους μένειν,
Εὐφυΐας τοσῆσδε, θυμοῦ τ' ἀτρέστου.
Ἄριστα δ' ἐσκέπτοντο ὡς ἦν ἐκ παίδων
Τοῖος πέφυκε, τίς ποτ' ἂν ἐν ἀνδράσι;
Διττοὺς δὲ ὠπήδευσεν ἀρχοὺς ὧν μείραξ,
Σαβαυδίης σὺν πατρὶ ὄντι συμβούλῳ
Ἄνακτα πρὸς κραταιὸν Ἰβηριάδος,
Εἰς πράγεων σύνταγμα τῶν ἀποκρύφων.
Καὶ νοστέοντ' οἴκαδε ἡγέτης αἴρει
Εἰς ἱππέων ἴλαρχον ἐκ καταφράκτων,
Ἔπειτα ταξίαρχον ἵππου τῆς πάσης,
Ἣ δεινὸς ἐνδέδεικτο καιροῖς ποικίλοις,
Καὶ ἡγέτης προπομπὸν ἡρέτιζ' εὔφρων
Τῆς ἱππέων τάξιος, εὐγενῶν φύντων.
Συνηγόρει δ' ἄριστα ἦν πάτρην Ἄσταν
Πρὸς ἑλλοχῶντας ὑψικόμπους Ἰβήρους,
Οὓς ἐξέλασε τῆς τ' ἐνέδρας καὶ λόχου.
Ἐῶ δ' ὅσων γέγαε νικάτωρ χώρων,
Πολισμάτων τε Ταυρινῶν ἐπαρχίης,
Κἂν τρισσάκις πέπληκτο χρῶτα καιρίως,
Ἐν ᾧ τε ἀνθίστατο ὅπλα πρὸς Γάλλων,
Σούσης πόληος δίοδον πειραζόντων.
Καὶ ἢ μένοντα, τραυμάτων ἄλθους χάριν,
Γάλλων ἐπεσκέπτοντο ἀρχοὶ καὶ ἄναξ,
Ὑπουργέοντες ἀνδρὶ ἄλγους ἐνδείξεις.
Κἀς Ταυρίνον νοστήσας ὤθησ' Ἰβήρους
Ἐκ Γαττινάρας εἰς ἄμυναν Γαλάτων.
Τέως ἄναξ δέδειχεν οὗ στρατοῦ πρῶτον
Στρατηγίης πάσης μὲν εἰς Ἰταλίην,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μετὰ στρατάρχην, υἷα Ἐμμανουήλου
Ἀμαδέον δεχθέντα ἀρχὴν ἀπφύος.
Ὅπερ δεδαψίλευτο μαρκεῖα πλεῖστα,
Ὡς ἔμμεναι ἂν ἔξοχον Μαρκιόνων.
Ἐν ᾧ δὲ ἐς δήωσιν ὧρσαν Κρημώνης,
Τιτρώσκεται νήκεστα μυρὸν πυρβόλῳ,
Καὶ ἐξέπνει οἴκτιστα, λυγρὸν θεὶς γόον
Αὐτοῖσιν οἰκείοισι καὐτοῖς τ' ἀντίοις,
Οἷον προεξένησεν ἀνδρὶ χρηστότης.
Ἀλλ' εὖτ' ἄναξ ἐκ τῶνδε ἔσχ' ἐπισπαστὸν
Μαρησίαλον Γαλλίης πάσης μέγαν,
Τότ' αἶσα βασκαίνουσα ἄνδρ' ἐπεκτάκει,
Ὡς μὴ δικὴ ἐς τοσήνδε ἀξίην.
Ἀλλ' ἦγε κἂν νῦν ἠγκόνει ἀνδρὸς φθόρον,
Θάλλει ἀτὰρ ζῶν καὶ ἀκούσης ἐς παῖδα.
Οὗτος Γιρὼν Φραγκίσκος, ὃς πέφασταί μοι
Φαιδρῶς πολιτείηθεν ἠρετηθῆναι,
Οἷα στράταρχος ἠδ' ἀρωγὸς σφῶν κράτους,
Πάντῃ ἐπεὶ ἔγνωτο ἴνδαλμ' ἀπφύος,
Ἐπεὶ μιμηλὸς οἷ ἀρητῶν ἔργων.
Δεινὸς γὰρ ὤφθη χ' οὗτος εὐθὺς ἐκ παίδων,
Καὶ εὐδοκίμει ἐν παρήλιξ' αὐτοῖς τε.
Ἑπταέτης γὰρ αἱρεθεὶς πατρὸς χάριν
Ἴλαρχος εἴλης ἱππικῆς ὑψαυχένων,
Θυμοῦ ἐδείκνυ' στερρὸν ἠδὲ γενναῖον
Πρὸς ἐλλοχοῦντας τρισσὰ Μοντισφερράτου
Πολισμάτων ὀχυρά, δωδεκαέτης,
Ὡς ἀγάσασθαι πομπὸν Ἐμμανουῆλον
Μείρακος ἀγχίνοιαν ἠδ' ἴφθιμόν τε,
Ὡς θαλαμηπόλον μὶν οὔ σχεῖν κοιτῶνος.
Ἀμάδεός τε, ἀπφύος μετὰ κτέρος,
Τοῖόν δε ἴσχεν, ἀλλ' ἀρωγὸν βουλαῖσιν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗ ἂν διδοίη καιρὸς ἔργων δηΐων.
Μεθ' ἅττ' ἄνασσα οἰακίζουσ' ἀρχεῖον,
Γέραιρε ταξίαρχον ἐν καταφράκτοις
Ἱππεῦσιν ὀθνείοισι μισθαρνουμένοις.
Τοίᾳ στρατειᾷ, ἀπφύος στραταρχοῦντος,
Πρὸς Ἱσπανοὺς πρόσκρουε καὶ φυγὴν τράπεν,
Ὡς μὴ ἐπαρκεῖν τρινίοις λοχωμένοις
Ἄλλοις πολισμάτων τε Ταυρινοῦ ἔδους.
Διϊθύνοντα δ' ἶφι καὶ Ἄσταν πόλιν,
Πολισμάτων τ' ἐχυρὰ ὅσσ' ἐπαρχίης,
Ἄναξ ἀγασθεὶς ἀνδρὸς ἀγαθουργίας
Πρύτανιν ἡρέτιζε Γαλλικῶν ὅπλων.
Μετὰ κτέρος πατρὸς δὲ φαιδροῦ Γουΐδου,
Μαρησίαλον ἵστα ἐς τὸ πᾶν κράτους.
Ὡς γνῷ δὲ πᾶς τις οἷα ἦν περὶ πλείστου
Καὶ πὰρ μέδοντι, μητρὶ κεδνῇ τ' ἀνάσσῃ,
Ἡ γραμμάτων σύστασις ἀμφοῖν ἀγγέλλει.
Πατρὸς τελευτῆς ἄνδρα συμπαρμυθούντοιν,
Καὶ ἀξίας, ὅσσας τε αὐτὸς κληροῦτο,
Τούτῳ προσῆπτον οἱ πανεικέλῳ φῶντι,
Εἴ γ' ἐν μάχαισιν ἦν δεδειγμένος.

ΤΕΛΟΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛ
39
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας